ΛΈγεται περὶ ταύτης, ὅτι κατήσθιε τοὺς παραπλέοντας. ἦν δὲ αὕτη νησιῶτις καλὴ ἑταίρα, καὶ εἶχε παρασίτους, λοιμούς τε καὶ κυνώδεις, μεθ' ὧν τοὺς ξένους κατήσθιεν. ἐν οἷς καὶ τοὺς Ὀδυσσέως ἑταίρους, αὐτὸν δὲ ὡς φρόνιμον οὐκ ἠδυνήθη.

EAm narrant præternauigantes exedere. Sed fuit ſcortum non inelegans inſulare; habebatque penes ſe voraces, ac impudentis oris paraſitos, cum quibus peregrinos deuorabat, inter quos, & Vlyſſis comites exhauſit. Vlyſſi verò, veluti cato, non nocuit.

Περὶ Καινέως γ'.

De Cæneo 3.

ΛΈγεται τοῦτον πρότερον γυναῖκα γεγο-

ANteà, vt fertur, fœmina fuit, inde Ne-

γέναι εἶτα ὑπὸ Ποσειδῶνος γενέσθαι ἄνδρα ἄτρωτον χαλκῷ καὶ σιδήρῳ. τοῦτο δὲ ὢν νέος ἐρώμενος ἐγένετο τοῦ Ποσειδῶνος. ἀνδρωθεὶς δὲ μέγας κατὰ ψυχὴν ἐγένετο, ὑπ' οὐδενὸς καταπονηθῆναι δυνάμενος. οὔτε δώροις ἐξαλλάσσεσθαι χαλκοῦ καὶ σιδήρου. οὔπω γὰρ χρυσὸς καὶ ἄργυρος εὑρῆται.

Neptuni beneficio in virũ mutata eſt, ære, ferroque inuulnerabilis. Verùm hic iuuenili ætate Neptuno placuit, prouecta iam deinde, ac virili grandis animo, ſatis roboris habuit, adeò vt omnibus inſuperabilis eſſet, neque æris, & ferri muneribus flecteretur. Tunc enim neque aurum, neque argentum erat in vſu.

Περὶ Ἄτλαντος δ'.

Οὗτος παραδέδοται φέρων τὸν οὐρανὸν ἐπὶ τῶν ὤμων, ὃ ἀδύνατον· ὑπὸ οὐρανὸν καὶ αὐτὸν ὄντα. ἀνὴρ δὲ σοφὸς ὢν, τὰ κατὰ ἀστρολογίαν πρῶτος κατώπτευσε. προλέγων δὲ χειμῶνας, καὶ μεταβολὰς ἄστρων, καὶ δύσεις, ἐ-

De Atlante 4.

TRadunt humeris Cælũ ſuſtinuiſse, quod fieri nequit, ſubeſt enim & ipſe Cælo. Sed cùm ſapientia excelleret, primus omnium Cæli rationem deprehendit: & cùm tempeſtates, ac ſiderum mutationes, oc-

μυθεύθη φέρειν ἐν αὐτῷ τὸν κόσμον.

occaſusq; prædiceret, in fabulis relatum eſt, eum Orbem geſtare.

Περὶ Κενταύρων ε'.

De Centauris 5.

ΛΈγεται περὶ τὸ Πήλιον, καὶ τὴν Φολόην γεγονέναι διφυεῖς, τὰ μὲν ἐπάνω τῶν λαγόνων ἀνδρῶν ἔχοντας, τὸ δ' ἄλλο τὸ μέρος παῖ ἵππων. οὐκ ἀληθὲς δὲ τοῦτο. δύο γὰρ διηλλαγμένας φύσεις εἰς ἓν συνεχθείσας, ἀδύνατον ζωογονηθῆναι καὶ τραφῆναι. ἀλλ' ἔτι τῆς τῶν ἵππων χρήσεως οὔσης ἀγνώστου, πρῶτοι καθίσαντες ἐφ' ἵππων, κατέτρεχον τὰ πεδία λῃστεύοντες, φαντασίαν τε ἀπετέλεσαν τοῖς πρώτως θεασαμένοις μακρόθεν, ὡς ἐκ δυοῖν εἰσὶ γεγονότες φύσεων.

FAma eſt in Pelio monte, ac Pholoë habitantes biformes fuiſſe; ſupra latera homines, reliqua ſui parte equos; falsò om nino: Naturæ ſiquidem diuerſæ, ſi in vnum coaleſcant, fieri nequit, vt viuant, aut alantur. Sed cum tunc temporis equorum vſus nullus eſſet, ipſi primi equos aſcẽdentes, ſeq; per campos prędabundos dãtes, illis, qui primùm eos eminus conſpexerant, duplici ſe forma repræſentarunt.

Περὶ Πασιφάης ϛʹ.

Ταύτην φασὶν ἐρασθῆναι Ταύρου, οὐχ ὡς πολλοὶ νομίζουσι τοῦ κατὰ τὴν ἀγέλην ζώου, γελοῖον γὰρ ἀκοινωνήτου συνουσίας ὀρέχθαι τὴν βασίλισσαν, ἑνὸς δέ τινος τῶν ἐντοπίων, ᾧ Ταῦρος ἦν ὄνομα. συνεργῷ δὲ χρησαμένη πρὸς τὴν ἐπιθυμίαν Δαιδάλῳ, καὶ γεγονυῖα ἔγκυος ἐγέννησε καθ' ὁμοιότητα τοῦ Ταύρου, ὃν οἱ πολλοὶ Μίνω μὲν ἐκάλουν, Ταύρῳ δὲ εἴκαζον, κατὰ δὲ σύνθεσιν Μινώταυρος ἐκλήθη.

De Paſiphaë 6.

Illa Taurum deperiſse dicitur; non eum, vt multi ſomniant, qui inter armenta paſcitur; ridiculum enim eſt Reginam coitus, ab omni conſortio alieni in deſiderium veniſſe; ſed in digenam neſcio quem, cui Tauro nomen erat. Ope autem Dædali exaturata libidine, grauida facta, ſimilem Tauro enixa eſt: Illum multitudo Minoa quidem vocabant, ſed Tauro propter ſimilitudinem vindicabant. Hinc, compoſito nomine, Minotaurus dictus eſt.

Περὶ Τειρεσίου ζʹ.

Οὗτος μετασχεῖν λέγεται τῆς γυναικείας καὶ ἀνδρείας φύσεως κατὰ τὴν αὐτὴν ὑπόληψιν,

De Tireſia 7.

Hic muliebrem, virilemq; ſexum communicaſſe fertur, non alia ac Cæneus ra-

ἣν ἐπὶ Καινέως ἐγράψαμεν.

ratione, vt ſupra ſcripſimus.

Περὶ Ἁρπυιῶν η'.

ΤΑύτας ὁ μῦθος παραδέδωκε γυναῖκας ὑποπτέρους τὸ τοῦ Φινέως δεῖπνον ἁρπαζούσας. ὑπολάβοι δ' αὖτις ταύτας ἑταίρας καταφαγούσας τὴν τοῦ Φινέως οἰκίαν εἶναι, καὶ καταλιπούσας αὐτὸν, καὶ τῆς ἀναγκαίας τροφῆς ἐνδεῆ, κεχωρίσθαι ἀπ' αὐτοῦ· ἀεὶ δὲ, ὅσα ἂν κτήσαιτο, παραγινομένας ἐσθίειν, καὶ αὖθις χωρίζεσθαι, ὃ σύνηθες ποιεῖν ταῖς ἑταίραις.

De Harpyis 8.

FAbulæ narrant, has Mulieres alatas Phinei cœnam diripere. Non abs re tamen exiſtimabimus meretrices fuiſſe, & omnem Phinei ſupellectilē conſumpſiſſe, ſicque eum victui neceſſarijs ſpoliatum, neglexiſſe, ſeceſſiſſeque; ſemper tamen recens comparata à Phineo ſuo acceſſu deuoraſſe, deinde abijſſe: quod meretricibus ſolemne eſt.

Περὶ Περσέως θ'.

ΤΟύτῳ ἱστορεῖται, τὸν Ἑρμῆν πέδιλα πτερωτὰ δεδωκέναι. Ἑρμῆς γὰρ τὴν πρὸς δρό-

De Perſeo 9.

PErſeo, vt fertur, Mercurius pennatos calceos dedit. Mercurius enim exer

citan-

μον γυμνασίαν ἐπενόησεν, ἐν ᾗ εὐδόκιμος ἦν ὁ Περσεύς. οἱ γοῦν θεώμενοι τὸ τάχος θαυμάζοντες, πτερὰ εἶπον προσετεθεῖσθαι τοῖς ποσὶν αὐτοῦ, καθὼς εἰώθαμεν λέγειν ἐπὶ τῶν ταχέως τρεχόντων, ὅτι ἔπτη.

citandi ſe modum per curſum, excogitauit, in quo celebris erat Perſeus. Spectatores itaque velocitatem admirantes, pedibus illius alas annexas enunciabant: nos etiam dicere ſolemus eos, quibus pernicitas pedum ineſt, auolare.

Περὶ Γλαύκου τοῦ Θαλασσίου ι'.

De Glauco Marino 10.

ΟΥ̃τος Θαλάσσιος ἀναφέρεται μάντις. νῆσον γὰρ ἑαυτοῦ οἰκῶν, αἰεὶ τοῖς παραπλέουσιν ἐσήμαινεν, ὡς δεῖ ποιεῖσθαι τὸν πλοῦν, προλέγων τὰ συμβησόμενα.

HIc vates marinus circumfertur fuiſſe; cùm enim Inſulam habitaret, ſemper præternauigantibus modum nauigationis expromebat, prædicebatq; futura.

Περὶ Κύκλωπος ια'.

De Cyclope 11.

ΤΟῦτον αὐτίς ὑπολάβοι διαιτώμενον ἐπ' ἐρημίᾳ, νόμων ἄπειρον

EXiſtimare poſſumus hunc deſertarum ſolitudinum

εἶ), πεποιθέναι δὲ τῇ βίᾳ, μίαν αἴσθησιν ἔχοντα τὴν ἀπὸ τῆς ὁράσεως, λογισμῷ δὲ μηδὲν περιβλέποντα. ὃν ὁ σοφὸς Ὀδυσσεὺς κατεπόνησεν.

accolam, leges penitùs neſciſſe, & vno ſenſu, qui beneficio viſus fit, ſed nulla ratione, cuncta dimentientem, viribus, ac violentiæ fiſum fuiſſe. Illum, rerum experientia illuſtris, Vlyſſes ſuperauit.

Περὶ Ἀταλάντης τῆς Σχοινέως, καὶ Ἱππομένους ιβ.

Φασὶ τούτους ἀπολεοντωθῆναι ἐν τῷ ὄρει, τῆς περὶ αὐτῶν ὑπολήψεως τοιαύτης οὔσης. μεσημβρίας οὔσης εἰσῆλθον εἴς τι σπήλαιον, γενέσθαι θέλοντες μετ' ἀλλήλων, καὶ τύχῃ δὲ λέοντες ὄντες ἐν τῷ σπηλαίῳ κατέφαγον αὐτούς: ὕστερον δὲ τῶν θηρίων ἐξελθόντων, ἐκείνων δὲ μὴ φαινομένων, μεταμορφωθῆναι ὑπέλαβον αὐτοὺς οἱ προσεδρεύοντες.

De Schœneia Atalanta, & Hippomene 12.

HOs in montibus in Leones tranſformatos dicunt. Datus fabulæ locus. Nã ſub meridiẽ Antrum ingreſſos, vt ſimul vnà concuberẽt, Leones, ita caſu ferente, qui in ſpelunca erant, deuorarunt. Tandem egreſſis belluis, cũ illi nuſquam apparerẽt, eos in Leones verſos, qui cuſtodiæ incubebant, exiſtimarunt.

De

Περὶ Φορκίδων ιγ΄.

Ταύτας ὑφίστανται μιᾷ ὀράσει χρῆσθαι, ἀεὶ πρὸς τὴν χρείαν μεταλαμβανούσας παρὰ τῆς ἐχούσης. εἰκὸς δὲ ὅτι τρεῖς γυναῖκας τυφλωθείσας ὁδηγῷ ἑνὶ χρῆσθαι πρὸς τὴν πορείαν. ὀνόματα δὲ αὐτῶν Πεφρηδώ, Ἐννυώ, Περσώ. ἐφύλαττον δὲ τὰ χρυσᾶ μῆλα.

De Phorcidis 13.

EAs narrant vnius ſortitas luminis vſum, ſibique inuicem pro opportunitate rei, vtendum tradidiſſe. Vero tamen ſimile eſt, tres mulieres, oculis amiſſis, vno, qui eas regeret, vſas fuiſſe ductore. Earum nomina Pephredo, Ennyo, Perſo. & cuſtodiebant mala aurea.

Περὶ Σειρήνων ιδ΄.

Ταύτας διφυεῖς μυθολογοῦσι, τὰ μὲν σκέλη ὀρνίθων, τὸ δὲ σῶμα γυναικῶν ἐχούσας. ἀπώλλυον δὲ τοὺς παριόντας. ἦσαν γὰρ ἑταῖραι εὐπρεπεῖς, τῇ τε δι᾽ ὀργάνων μούσῃ καὶ γλυκυφωνίᾳ κάλλισται, αἷς οἱ προσερχόμενοι κατηθίοντο τὰς οὐσίας. ὀρνί-

De Sirenibus 14.

BIformes faciunt, cruribus aues, reliquis membris mulieres. illæ prætereuntes perdebant. erant enim ſcorta, forma lepida, quæ inſtrumentis muſicis, & vocis ſuauitate egregia, res accedentium abligurieb$\bar{a}$t. Auium crura

θων δὲ σκέλη ἐλέγοντο ἔχειν, ὅτι ταχέως ἀπὸ τῶν ἀποβαλλόντων τὰς οὐσίας ἐχωρίζοντο.

crura poſſidere dicebantur, quòd ſtatim ab ijs,quos ipſæ rebus denudauerant, ſecederent.

Περὶ Χιμαίρας ιε΄.

Ταύτην Ὅμηρος εἰκονογραφῶν φησὶ, * Πρόσθε Λέων, ὄπισθε δὲ Δράκων, μέση δὲ Χίμαιρα. Γένοιτο δ᾽ ἂν τὸ ἀληθὲς τοιοῦτον. γυνὴ τῶν τόπων κρατοῦσα, δύο πρὸς ὑπηρεσίαν ἀδελφοὺς εἶχεν, ὀνόματι Λέοντα, καὶ Δράκοντα. παράσπονδος δὲ οὖσα, καὶ ἐξενοκτόνει. ἀνῃρέθη δὲ ὑπὸ Βελλεροφόντου.

* Iliad. ζ΄. ℣. 181.

De Chimæra 15.

Eius imaginem ſic expreſſit Homerus, *Ora Leonis erant, vẽter Capra,cauda Draconis.* Res tamen ita eſſe potuit. Mulier, regionis domina, fratres ſibi Leonem, & Draconem dominationis ſocios adſciuerat, quæ cum fœdera violaret, & peregrinos mactaret, à Bellerophõte trucidata eſt.

Περὶ Κίρκης ιϛ΄.

Ταύτην ὁ μῦθος παρέδωκε ποτῷ μεταμορφοῦσαν ἀνθρώπους. ἦν δὲ ἑταίρα. καὶ κα-

De Circe 16.

Apud Poëtarum fabulas legitur, illã potu homines tranſformaſſe. Erat porrò

τακηλοῦσα τοὺς ξένους, τὸ πρῶτον ἀρεσκείᾳ παντοδαπῇ ἐπεσπᾶτο πρὸς εὔνοιαν. γενομένους δὲ ἐν προσπαθείᾳ κατεῖχε ταῖς ἐπιθυμίαις ἀλογίστως φερομένους πρὸς τὰς ἡδονάς. ἤττησε δὲ καὶ ταύτην Ὀδυσσεύς.

rò meretrix, & aduenas demulcens, primùm officijs omnibus in ſe, ſuique amorem conuertebat: deinde eos amore implicitos apud ſe, in affectus, & libidines ſine vlla ratione effuſos, continebat. Eam quoque Vlyſſes profligauit.

Περὶ τῶν πυρπνόων Ταύρων ιζ'.

Τίς ἂν ὑπολάβοι θνητὴν φύσιν πῦρ πνέειν ἐξ αὐτῆς, ὃ πάντων ἐστὶν ἀναιρετικόν. ἄγριοι καὶ τραχεῖς ὄντες, πρὸς τὴν ἀναίρεσιν τῶν ἐραθέντων ὀξεῖς ἦσαν. τὸ οὖν ἐν τάχει περὶ αὐτοὺς ἀναιρετικὸν εἰκάσθη πυρί.

De flammiuomis Tauris 17.

QVis mortalem naturam, flammas, quæ nulli parcunt, vomere exiſtimabit? Immites illi atq; aſperi, in obiectorum necem veloces erant. Velocitas itaque eorum in perdendo, flammis aſſimilatur.

Περὶ Ὕδρας ιη'.

Πολυκέφαλον ἱστορεῖται θηρίον, οὐχ ὅ-

De Hydra 18.

FEra multorum capitũ traditur, cùm res

τως ἔχοντος τ' ἀληθοῦς. εἰκὸς δὲ νεοσσοὺς αὐτὴν ἐσχηκέναι πολλούς, οἳ συνόντες αὐτῇ, καὶ τεκούσῃ βοηθοῦντες, τοὺς προσιόντας ἀπώλλυον μετ' αὐτῆς.

res aliter ſe habeat. Par eſt, eam multam habuiſſe ſobolem, quæ illi conuiuens, atque decertans vnà cum ea, incautè obrepentes perdebat.

Περὶ τῶν Σπαρτῶν ιθ'.

De Spartis 19.

ΤΙς πιστεῦσαι δύναται, ὅτι τοῦ Κάδμου σπείραντος τοὺς Δράκοντος ὀδόντας ἔφυσαν ἔνοπλοι ἄνθρωποι. κρατήσας δὲ τῶν τόπων ὁ Κάδμος, καὶ τὸ θηρίον ἀνῃρηκὼς, δι' ὃ συνέβαινεν ἔρημον εἶναι τὸν τόπον, τοὺς σποράδην οἰκοῦντας εἰς ἓν συνήγαγεν. οἱ ὄντες ἔνοπλοι καὶ θηριώδεις διηνέχθησαν εὐθὺς πρὸς ἀλλήλους, καὶ πλὴν ὀλίγων πάντες ἀπώλοντο.

QVis crederet Draconis dentes à Cadmo diſſeminatos, armatos homines erupiſſe? Equidé Cadmus locorum potitus, necataque bellua, quæ loca illa deſerta ac inculta effecerat, palantes, vagantesq; homines in vnam ſedem congregauit: illi armati & ferinis moribus, ſtatim in contentionem verſi, paucis exceptis omnes mutua internecione deleti ſunt.

Περὶ τῶν χρυσῶν Μήλων κʹ.

ΔΡάκοντα φασὶ τὰ τῶν Ἑσπερίδων χρυσᾶ Μῆλα φυλάττειν. ἀνὴρ δὲ ἐγένετο Δράκων, ὃς ἐκ τῆς ἐπιμελείας τῶν δένδρων, πολὺν ἐσώρευσε χρυσόν. τοῦτον διαπρεπεῖς ἐθήρευσαν γυναῖκες, καὶ τῆς ἐρωτικῆς ἐπιθυμίας ἐνδήσασαι τὴν ψυχὴν αὐτοῦ, πρὸς τὸ λοιπὸν ὑπηρέτην ἔσχον, καὶ φύλακα τοῦ κήπου.

De Aureis malis 20.

DRaconē ſcribunt aurea Heſperidū mala cuſtodire. Fuit Homo, Draco nomine, qui arborum cultu, multum ſibi aurum congeſſerat: illum Mulieres egregia forma ceperunt, & amatorijs deuictum illecebris, in poſterum ſeruum, hortique cuſtodem poſſederunt.

Περὶ τῶν ἐν Ἅιδου καʹ.

ΛΕ'γεται ὡς Ἡρακλῆς κατελθὼν, ἀνῆλθεν ἀναγαγὼν τὸν Κέρβερον, καὶ Ὀρφεὺς ὡσαύτως Εὐρυδίκην τὴν γυναῖκα. τὸ δ' ἀληθὲς, ὅτι ὁ πηνίκα τὶς ἐκ μακρᾶς ἀποδημίας, καὶ ἐπιμιν-

De ijs, quæ apud Inferos ſunt 21.

NArrant, Herculem eò deſcēdiſſe, aſcendiſſeque, educto Cerbero: vt ſimiliter Orpheum, reducta Eurydice vxore. Verum tamen illud eſt, eum, cùm è longin-

δεινὰ διατλήσας ἐσώθη, ἔφασκον ἐξ Ἅιδου αὐτὸν διασεσῶσθαι. ὅθεν ἔτι καὶ νῦν τοὺς μακροὺς πόνους, καὶ παραβόλους ὁδοὺς, καὶ ἐπισφαλεῖς νόσους φεύγοντας, φάσκομεν ἐξ Ἅιδου σεσῶσθαι.

ginquo, ac periculoſo itinere, cui, multa perpeſſus, ſuffecerat, redijſſet, ab Inferis remeare, homines dixiſſe. Hinc ad hæc tempora eos, qui, & labores immenſos, atque inexſpectata itinera, & maximè periculoſos morbos euaſerint, ab Inferis euocatos dicimus.

Περὶ Φαέθοντος κβʹ.

Οὗτος Ἡλίου ὢν υἱὸς, ἐπεθύμησεν εἰς τὸ τοῦ πατρὸς ἅρμα ἀναβὰς διφρεῦσαι, ἀπείρως δὲ τοῦτο ποιοῦντος, καὶ τῶν αἰθρώπων ἀπολλυμένων ὑπὸ τοῦ καύματος, ὁ Ζεὺς αὐτὸν ἐκεραύνωσεν.

De Phaëthonte 22.

Hic ſolis filius patrio curru vectus, illum moderari concupiuit. Id cùm imperitè ageret, hominesque æſtu in perniciem ruerent, à Ioue fulmine ictus interijt.

Περὶ Ὀρφέως κγʹ.

Οὗτος κινεῖν λέγεται καὶ πέτρας, καὶ δένδρα, καὶ θῆρας, οἰωνούς τε. εἴποι δ' αὖτις ἀλη-

De Orpheo 23.

Dicitur & ſaxa agere, & arbores, & feras mulcere, & alites. Verè tamen dixe-

θῶς, ὅτι θηριώδεις ὄντας τοὺς ἀνθρώπους, καὶ οὔτε ἔθη, οὔτε νόμους εἰδότας, εἰς δεισιδαιμονίαν ἀγαγὼν, καὶ ἐπὶ τὸ εὐσεβεῖν παρακαλέσας, πετρώδεις ὄντας, καὶ θηριώδεις διὰ τῶν λόγων κηλήσας, ταύτης τῆς φήμης ἔτυχεν.

xeris, eum homines moribus efferatos, morum,ac legum penitus ignaros, ad ſuperſtitionem deducentem, & ad pietatem mouentem, ſaxeosq; illos, ac belluinos oratione pellicientem, huic fabellæ locum dediſſe.

Περὶ Ἕλλης καὶ Φρίξου κδʹ.

De Helle, & Phryxo 24.

Ἡνίκα τὴν Ἰνοῦς ἐπιβουλὴν μητρυιᾶς οὔσης ἔφευγον Ἕλλη καὶ Φρίξος, ὁ παιδαγωγὸς, ᾧ ἦν Κριὸς ὄνομα, ἐπὶ πλοιαρίῳ μικρῷ χειμῶνος ὄντος ἔφυγεν, ἔχων αὐτοὺς, καὶ συνέβαινε τὴν μὲν Ἕλλην ἐκπεσεῖν εἰς τὴν θάλασσαν, ὅθεν ἐκλήθη Ἑλλήσποντος, τοῦ δὲ Φρίξου σωθέντος ἐπιθυμητικῶς ἔχειν τὸν Αἰήτην. τὸν

DVm Iűs nouercæ inſidias propulſarent Helle, & Phryxus, Pædagogus, nomine Crios, ideſt Aries, eos cum nauicula ſæuiente hyeme conuehens, in fugam ſe vertit. Acciditque, Hellem ſua in Pontum ruina Helleſponto nomen dediſſe; Phryxi incolumis amore Æetem cieri, cùmq;

δὲ Κριὸν διακωλύοντα, καὶ πειρώμενον ἄφθορον διατηρῆσαι τὸν Φρίξον, ἀποδαρθῆναι, καὶ τὸ δέρμα αὐτοῦ προσπασσαλευθῆναι. χρυσοῦν δὲ προσαγορευθῆναι διὰ τὸ πιστότατον γεγενῆσθαι.

cùmq; obſtaret Crius, & incorruptum puerum ſeruare conaretur, pelle exutũ fuiſſe, quam ille cruci affixit. Nominatum verò aureum, quòd maximè omnium fidem ſeruarit.

Περὶ Πανῶν καὶ Σατύρων κε'.

De Panibus, & Satyris 25.

ΕΝ ὄρεσι καταγινόμενοι, καὶ γυναικῶν ἄπειροι ὄντες, ὅταν τὶς παρεφαίνη γυνὴ, κοινῶς αὐτῇ ἐχρῶντο. τράγων δὲ τρίχας καὶ σκέλη ἐδόκουν ἔχειν, διὰ τὴν περὶ τὰ λουτρὰ ἀμέλειαν, καὶ τὴν περὶ ταῦτα δυσοσμίαν, καὶ διὰ τοῦτο Διονύσου φίλοι. τὴν γὰρ ἐργασίαν τῶν ἀμπέλων ἐποίουν. καὶ νῦν δὲ ἔτι τὰς εἰς πλῆθος γυναῖκας λέγομεν, ὅτι ἐπανιζόμεν αὐτάς.

CVm in montibus viuerent, nec mulieres deguſtaſſent, ſtatim ac mulier ſe in conſpectum dabat, vnà cum ea cubabãt omnes ſimul. Hircorum pilos, ac crura habere viſi ſunt, quòd balinea negligentes, fœterent. Ideoq; Dionyſij amici putabantur, quòd vites excolerent. Nunc itẽ mulieres ex plebe, ac viles, *Panizare* dicimur.

Περὶ Ἀσκληπιοῦ κϛʹ.

Λέγουσιν αὐτὸν κεκεραυνῶσθαι. εἴη δ' ἂν πιθανώτερον οὕτω. ἰατρικὴν νικήσας, καὶ ὑψώσας, αὐτὸς ὑπὸ πυρετοῦ φλεχθεὶς ὤλετο. ὅθεν διὰ τὴν φλεγμονὴν αὐτὸς κεραυνωθῆναι λέγεται.

De Aeſculapio 26.

EVm fulmine ictū tradunt. Magis tamen rationi conſentaneum erit; ſi dicamus, celebrem in medicina, medicinæ dignitate aucta, febri correptum obijſſe. Quare propter illum æſtum fulmine tactum dicunt.

Περὶ τῆς τοῦ Ἄϊδου κυνέης κζʹ.

Ὅτι ἡ τοῦ Ἄϊδος κυνῆ, ὡς καὶ ὁ Περσεὺς περιθέμενος ἀόρατος ἐγίνετο. ἔστι δὲ κυνὴ Ἄϊδος τὸ τέλος, εἰς ὃ ἀπελθὼν ὁ τετελευτηκὼς ἀόρατος γίνεται.

De Plutonis Galea 27.

PLutonis galeam, ſi quis capiti impoſuerit, quemadmodum & Perſeus, inuiſibilis fiebat. Verùm Plutonis galea terminus eſt, in quem cùm defunctus deuenerit, non ampliùs videtur.

Περὶ Βορέου, καὶ Ὠρειθύας κη΄.

Λέγεται δὲ ὅτι Βορέας Ὠρείθυιαν ἥρπασεν. ἣν δὲ βασιλεὺς τῶν τόπων ἐκείνων, ἡ δὲ αὐτὴ ὑπόληψις, καὶ μέθοδος καὶ περὶ Διὸς, καὶ Γανυμήδους. βασιλεύων γὰρ ἁρπάζει τὸν Γανυμήδην, ἀετὸς γενόμενος, ὅτι καὶ τὸ ζῶον ἄλκιμον. Ὁ δ᾽ αὐτὸς τρόπος, καὶ περὶ Ἠοῦς, καὶ Τιθωνοῦ, καὶ Ἀγχίσου, καὶ Ἀφροδίτης.

De Borea, & Orithyia 28.

Traditũ eſt, Aquilonem Orithyiam ſuſtuliſſe, qui illi regioni præerat. Eadem animaduerſio, & modus de Ioue, & Ganymede procedit. regnãs ſiquidẽ rapit Ganymedẽ, in Aquilam propter fortitudinem conuerſus. Nec alia ratione, quę de Aurora, & Tithono, Anchiſe, & Venere narrantur, accipienda ſunt.

Περὶ Πρωτέως κθ΄.

Λέγεται ὅτι ἐγίνετο ποτὲ μὲν ὕδωρ, ποτὲ δὲ πῦρ. δηλονότι, τοῖς μὲν χρηστοῖς, ὡς ὕδωρ, τοῖς δὲ πονηροῖς κατ᾽ ἀξίαν τιμωρητικὸς, ὅθεν ταύτην τὴν φήμην περὶ αὐτοῦ διέσπειραν.

De Proteo 29.

Narrant, eum nunc vt aquam fluere, nunc vt ignem exardeſcere. Probis ſcilicet veluti aqua molleſcẽs, improbos pro dignitate caſtigabat. Vnde de eo ſimilia euulgarunt.

Περὶ τοῦ Κυνὸς, καὶ τῆς Ἀλώπεκος λ΄.

ΤΩι μὲν Κυνὶ τοῦ Κεφάλου δεδομένον εἶναι φασὶν γέρας, ὃ ἂν ἴδῃ θηρίον καταλαμβάνειν, τῇ δὲ Ἀλώπεκι ὑπὸ μηδενὸς καταλαμβάνεσθαι. διώκοντος οὖν τοῦ Κυνὸς τὴν Ἀλώπεκα, ἵνα μὴ λυθῇ τὸ πεπρωμένον, τοὺς δύο λίθους ὁ Ζεὺς ἐποίησεν. εἴη δ᾽ ἂν τὸ τοιοῦτον πλάσμα παρὰ τὴν τῶν ἀμφοτέρων κατὰ τὸν διωγμὸν πλάνην.

De Cane, & Vulpe 30.

CAnem Cephali, inquiunt, Deorum munere, prærogatiuam illam habuiſſe, vt quam conſpexiſſet belluam comprehenderet; Vulpem à nullo capi poſſe. Cum itaque Vulpem Canis ſequeretur, ne, quę in fatis erant, violarentur, ambos Iuppiter in ſaxa transformauit. Hoc autem fingi potuit propter vtriuſque, dũ alter alterã ſequeretur, errores.

Περὶ τῶν Διομήδους ἵππων λα΄.

ΦΑσὶ ταύτας ἀνθρωποφάγους εἶναι. ἄγριαι δὲ ἦσαν νομάδες. οὐ δυναμένου δέ τινος αὐτὰς ὑφ᾽ ἅρμα ζεῦξαι, ὁ Ἡρακλῆς ἔζευξεν.

De Diomedis equis 31.

EQuas homines edisse tradunt. dum inter armenta paſcerentur, erant feroces, & cùm nemo poſſet eas iugo ſubdere, Hercules ſubdidit.

Περὶ Καλυψοῦς, καὶ Ὀδυσσέως λβ'.

Ἄλογον θνητὸν ὄντα Ὀδυσσέα, αὐτὴν ἐπαγγέλλεσθαι ποιήσειν ἀθάνατον. ἀλλὰ τὰ, τὰ πρὸς τροφὴν, καὶ πρὸς βίου ἀπόλαυσιν ἄφθονα καὶ λαμπρὰ ἕξειν. ὅθεν καὶ ἡμεῖς, ὅταν πῃ κληθῶμεν, καὶ λαμπρῶς εὐωχώμεθα, ἐν Θεοῖς φαμὲν γεγονέναι.

De Calypſo, & Vlyſſe 32.

Ratione alienum eſt, Deam profiteri, Vlyſſem morti obnoxium immortalitate donare. Sed quę victui, vitæq; neceſſaria videbantur, lauta, amplaque promiſit: & nos, cùm quis nos inuitauit, accepitque ſplendidè, atque hilari opſonio, inter Deos fuiſſe dicimur.

Περὶ Κερβέρου λγ'.

Τοῦτο ἂν εἴη, ὃ καὶ ἐπὶ τῆς Ὕδρας. οὗτος γὰρ εἶχε δύο σκύμνους, ὧν ἀεὶ συμβαδιζόντων τῷ πατρὶ, ἐφαίνετο εἶναι τρικέφαλος.

De Cerbero 33.

Non aliud erit, quàm quod de Hydra diximus. Hic ſiquidem duos Catulos habens, à quibus nunquam, cùm opus expoſceret, deſtituebatur, triceps eſſe videbatur.

Περὶ Λαμίας λδ'.

Ἱστοροῦσιν, ὅτι Διὸς αὐτῇ συμμιγέντος, Ἥρα ἀπεθηρίωσεν αὐτήν. καὶ ὅτι ἡνίκα ἂν μανῇ, τοὺς ὀφθαλμοὺς ἐξαίρειν, καὶ εἰς κοτύλην βάλλειν, καὶ ὅτι σαρκοφαγεῖ, καὶ ἀνθρώπους ἐσθίει. εἴη δ' ἂν τάδε. καλῇ αὐτῇ οὔσῃ ὁ Ζεὺς ἐπλησίασεν βασιλεύων, Ἥρα δὲ συναρπάζουσα αὐτήν, τοὺς ὀφθαλμοὺς ἐξώρυξε, καὶ εἰς τὰ ὄρη ἔρριψεν. ὅθεν ἐπιπόνως ἔζη, ἐπικουρουμένη οὐδέν, ὑπὸ τῆς ἐρημίας καταξινομένη αὐτή, καὶ διὰ τὸ ἄλουτος, καὶ ἀθεράπευτος εἶναι, ἐδόκει θηρίον ὑπάρχειν.

De Lamia 34.

Narrant priùs cōpreſſam à Ioue, poſtea à Iunone in belluam conuerſam. &, cùm furor inuadit, eam ſibi oculos eruere, & in vaſe deponere, carnes præterea, hominesq; vorare. Sed res ita fuerit. Iuppiter cum ea, quando forma erat egregia, rerum dominus congreſſus eſt, Iuno illius comprehenſæ oculos effodit, relegauitque in ſolitudinem. Vbi omni ope deſtituta, & ſummo cum diſcrimine ſibi victum comparans, cùm illota, ac neglecta ſordeſceret, fera exiſtimabatur.

Περὶ Πρόκνης, καὶ Φιλομήλης λε'.

Ἱστοροῦνται ὄρνιθες γενέσθαι, ἡ μὲν Χελιδών, ἡ δὲ Ἀηδών, ὁ δὲ Ἔποψ. τοῦτο δ' ἂν ἔχοι οὕτως. ἀποκτείνασαι τὸν Ἴτυν, καὶ πορθήσασαι τὸν οἶκον, εἰς τι πλοιάριον ἐμβᾶσαι, ταχεῖαν τὴν φυγὴν ἐποιήσαντο. ὁ δὲ Τηρεὺς ἐπεὶ διώξας, οὐ κατέλαβεν αὐτὰς, αὑτὸν ἀναιρεῖ. ὅθεν οἱ ἄνθρωποι, οὐ φαινομένων αὐτῶν, διὰ τὸ ἐξαίφνης ἀφανεῖς γενέσθαι, εἶπον, ὅτι ἀπωρνιθώθησαν.

De Progne, & Philomela 35.

Tradunt in aues verſas auolaſſe, hanc quidem Hirundinem, illam Luſciniam, tertiū in Epopa. res tamen ita fieri potuit. Mactato Ity, & domo direpta, nauiculam ingreſſæ, velociter fugā arripuere. Tereus licet inſequeretur, cùm nullas comprehendiſſet, ſibi necem conſciuit. Hinc homines, cùm illæ nuſquam eſſent, quòd ex improuiſo inuiſibiles factæ ſint, in aues transformatas fuiſſe dixerunt.

Περὶ τῶν Ἡλιάδων λϛ'.

Ταύτας φασὶν ἐξ ἀνθρώπων αἰγείρους γενέσθαι. οὐ τοῦτο δὲ, ἀλλὰ

De Heliadibus 36.

Ferunt, has ex mulieribus populos factas; quod falſum eſt;

διὰ τὸ πάθος τοῦ ἀδελφοῦ εἰς τὸν Ἠριδανὸν αὐτὰς ἔβαλον. διὸ οἱ ζητοῦντες, ἐπὶ τὸν ποταμὸν παραγενόμενοι, καὶ τὰς μὲν οὐχ εὑρόντες, ξύλα δὲ στελέχη αἰγείρων, ὑπέλαβον αὐτὰς ἀποδενδρωθῆναι. ὄνομα δὲ αὐταῖς, Φόβη, Λαμπετὼ, Αἴγλη.

eſt. Sed illæ ſe in Eridanum propter infortuniũ Fratris coniecere. Quare qui eas perquirerent, cùm ad fluuium acceſſiſſent, illis non compertis, ſed tribus populorum ſtipitibus, ſuſpicati ſunt eas in arbores verſas fuiſſe. Eorum nomina fuere, Phobe, Lampeto, Ægle.

Περὶ Πανόπτου λζ'.

Τοῦτον πάντα βουλόμενον ἀκούειν, καὶ ὁρᾶν, ἐν παντὶ τῷ σώματι ὀφθαλμοὺς ἔχειν ἐπλάσαντο. ὅθεν ἔτι καὶ νῦν τοὺς τοιούτους Πανόπτας καλοῦμεν.

De Panopte 37.

Cvm omnia oculis, auribuſque vſurpare vellet, eum oculos per totũ corpus habere finxerunt. Hinc hodieque ſimilium hominũ genus Panoptas dicimus.

Περὶ Ἐνδυμίωνος καὶ Σελήνης λη'.

Λέγεται, ὅτι καθεύδοντος αὐτοῦ, Σελήνη

De Endymione, & Luna 38.

Dicunt, illius dormientis amore

ἐρασθεῖσα, καταβᾶσα ἐμίγη αὐτῷ. ἦν δ' αὖ, ὁ μῦθος Ἐνδυμίων ποιμὴν ἄπειρος γυναικός, ἐπιθυμητικῶς δὲ ἔχουσα γυνὴ αὐτοῦ, ἐρωτηθεῖσα παρά τινος τίς εἴη, ἔφη, Σελήνη.

Lunam correptam, Cæloque delapſam, cum eo cubaſſe. Potuit verò eſſe Endymion paſtor, ignarus mulierum, & rudis, qué cùm mulier deperiſſet, à neſcio quo interrogata, quæ illa eſſet, reſpondit, Luna.

Περὶ τῶν Ἡλίου βοῶν λθ'.

De Solis bobus 39.

Περὶ τούτων οὕτως εὗρον ἀλληγορημένον ἐν Ἰλιάδι. οὐκ ἐξῆν τοῖς ἀρχαίοις ἱεροθυτεῖν βοῦς ἐργάτας. καὶ τοῦτο φησὶ μὲν καὶ Ἄρατος, δῆλον δὲ καὶ ἐξ αὐτῆς τῆς ποιήσεως, φησὶ γὰρ Ἑκάβη πρὸς Ἀθηνᾶν. Σοὶ δ' αὖ ἐγὼ βοῦν ῥέξω ἦνιν, εὐρυμέτωπον, ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.

De hiſce hanc allegoriam in Iliade legi: Antiquis interdictum erat, boues operarios ſacrificare: quod & Aratus aſſerit: compertumque eſt ex ipſa Poëſi, namque ait, ad Palladem Hecuba; * *Robuſtum tibi Diua bouem, cui cornua latam Obtendant frontem, quem nec iuga tracta domarint, Sacrificans voti ſoluam reus.*

* Iliad. κ'. ✠. 292. *Diomedes, non Hecuba.*

Præ-

Οὐ μόνον δὲ ἀλλὰ καὶ Ἡλίου βόας τούτους ἐκάλουν, ὡς τὴν γῆν ἐργαζομένους, καὶ ἡμᾶς τρέφοντας. οἱ δὲ τοῦ Ὀδυσσέως ἑταῖροι, οὐχ Ἡλίου βοῦς, ἀλλὰ τοὺς ἐργάτας θοινηθέντες, ¶ Σφίσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

¶ Odyſſ. α΄. ϒ. 34.

Præterea Solis boues eoſdem vocabant, tamquam qui & terram ſcinderent, & nobis alimenta præſtarent. At Vlyſſis ſocij, non Solis, ſed operarios boues cùm deuoraſſent, *Ob propria ſcelera, ſupra quàm par erat, dolores ſubiere.*

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΑΠΙΣΤΩΝ

ANONYMI

Longè H*ERACLITO recentioris*

De Incredibilibus.

LEONE ALLATIO INTERPRETE.

Περὶ τῶν ἀρχαιοτάτων ἀνθρώπων α'.

ΙΣτέον ὅτι ἀρχαιοτάτους ἀνθρώπων, οἱ μὲν Αἰγυπτίους, οἱ δὲ Φρύγας φασίν. Ἑλλήνων δὲ ἀρχαιοτάτους Ἀθηναίους, καὶ τοὺς πρὶν Πελασγοὺς, νῦν δὲ Ἀρκάδας. ἐν δὲ πόλεσι τὴν τε Ἀθηναίων ἀκρόπολιν ὑπὸ Κέκροπος τοῦ αὐτόχθονος κτισθεῖσαν τοῦ διφυοῦς, καὶ δευτέραν τὴν ὑπὸ Φορωνέως τοῦ Ἰνάχου κτισθεῖσαν. τρίτην δὲ Ἤτωνος ἐν Θεσσαλίᾳ ὑπὸ

De primis Hominibus I.

SCiendum eſt, antiquiſſimos homines ab alijs Ægyptios cenſeri, ab alijs Phrygas. Græcorũ verò vetuſtiſſimos Athenienſes, & quos nunc Arcadas, priùs Pelaſgos vocitabant. Inter Vrbes Athenienſium Arcē à Cecrope indigena, ac biformi conditam; ſecundam à Phoroneo Inachi F. exſtructam; Tertiam

Ito-

Δευκαλίωνος τοῦ Προμηθέως.

Itonis in Theſſalia à Deucalione Promethei F.

Τὰ ἑπτὰ Θεάματα β'.

Septem Miracula 2.

α'. Ὁ Ἐν Ὀλυμπίᾳ Ζεὺς, πήχεων λϛ'. β'. Ὁ τῶν Ἐφεσίων Ἀρτέμιδος ναός. γ'. Ὁ ἐν Δήλῳ κεράτειος Βωμὸς, ὃς λέγεται γενέσθαι ἐκ θυμάτων τοῦ Θεοῦ μιᾶς ἡμέρας δεξιῶν κεράτων. δ'. Τὸ Μαυσώλειον τὸ ἐν Ἁλικαρνασσῷ. ε'. Αἱ ἐν Αἰγύπτῳ Πυραμίδες, ὧν ἡ μείζων πήχεις ἔχει τετρακοσίας. ϛ'. Τὰ Βαβυλώνια τείχη. ζ'. Ὁ ἐν Ῥόδῳ Κολοσσὸς πήχεων ο', ὃν ἐποίησε Χάρις ὁ Λίνδιος. τινὲς δὲ τάττουσι καὶ τὸν ἐν Ἐπιδαύρῳ Ἀσκληπιὸν, καὶ τὸν ἐν Παρίῳ Βωμὸν, καὶ τοὺς Κρεμαστοὺς κήπους, καὶ τὸ ἰσαμβύλιον Ἀθηνᾶς ἐν Ἀθή-

1. APud Olympiam Iuppiter cubitorum trigintaſex. 2. Epheſiæ Dianæ templũ. 3. Apud Delum Ara ex dextris cornibus, quam erectam tradunt, ex ſacrificijs Deo vno die oblatis. 4. Mauſoleum Halicarnaſſi. 5. Ægyptiæ Pyramides, quarum maior cubitorum eſt quadringentorum. 6. Babylonis muri. 7. Apud Rhodios Coloſſus cubitorum ſeptuaginta, quem Chares Lindius erexerat. Alij inter ea numerant, Æſculapiũ apud Epidaurũ, Aram apud Parios, Hortos pen-

νῆς, καὶ τὰ Κύρου βασίλεια.

pensiles, ſtantem Mineruam Athenis, & Cyri regiam.

Περὶ τοῦ Χρυσοῦ δέρως γ'.

Ὅτι τὸ ἐν Κόλχοις φυλασσόμενον, οὐκ ἦν δέρας ἀληθῶς χρυσοῦν. τοῦτο γὰρ ποιητικὸν παιζόμενόν ἐστιν, ἀλλὰ βιβλίον ἐν δέρμασι γεγραμμένον, περιέχον, ὅπως δεῖ γίνεσθαι διὰ χυμείας χρυσόν. εἰκότως οὖν οἱ τότε χρυσοῦν ὠνόμαζον αὐτὸ διὰ τὴν ἐξ αὐτοῦ ἐνέργειαν.

De Vellere aureo 3.

Qvod apud Colchos aſſeruabatur, reuera non erat vellus aureum; hoc enim Poëtarum ludicrum eſt; ſed liber, in pellibus inſcriptum, continens, quanam ratione per Chemiæ artem aurum conficiendum eſſet. Non immeritò ergo ab illis Aureum, propter ſimilem operationem dicebatur.

Περὶ Ἰλίου δ'.

Ὅτι τὸν Ἀπόλλωνα, καὶ τὸν Ποσειδῶνα λέγουσι τειχίσαι τὸ Ἴλιον. τὸ δὲ οὐχ οὕτως ἔχει. ἀλλ' ὁ Λαομέδων ἐτείχισε τὴν πόλιν, οὐχ ὁ-

De Ilio 4.

Apollinem, ac Neptunum tradunt Ilium mœnibus cinxiſſe. Res autem non ita ſe habuit; ſed Laomedon vrbem præter

ius

σίως. ἦν δὲ ἐν τῇ Ἀκροπόλει ἱερὸν Ἀπόλλωνος, καὶ Ποσειδῶνος διαφερόντως τιμώμενον, ὅθεν συλῶν ἀνήλωσε τὰ χρήματα εἰς τὴν τοῦ τείχους κατασκευήν.

ius muris circumdedit: nam in Arce templũ Apollinis, ac Neptuni miro cultu inuiſebatur: vnde is pecuniam ſuffuratus, in murorum exſtructionem abſumpſit.

Περὶ Ἀχελώου ε´.

ΟΤι φασὶ τὸν Ἡρακλῆ μονομαχῆσαι τῷ Ἀχελώῳ. Ἔχει δὲ οὕτω. Ῥέων ὁ Ἀχελῶος μεταξὺ Θεσπρωτῶν, καὶ Κουρήτων πολλὰ τῆς χώρας ἀπετέμνετο, ποτὲ μὲν τούτοις, ποτὲ δὲ ἐκείνοις προστιθεὶς, ἐφ' ᾧ καὶ νεῖκος ἦν ἑκατέροις καρτερόν. Ἡρακλῆς οὖν ἐλθὼν ἐπίκουρος Αἰτωλοῖς, ὑπέρτερος τῶν Κουρήτων ἐγένετο, καὶ τὸν ποταμὸν κατακλείσας εἰς ἓν ῥεῖθρον, καὶ μίαν ἐκ-

De Acheloo 5.

NArrãt Herculem ſingulare certamẽ cum Acheloo inijſſe: Res porrò ita ſe habet. Achelous fluuius inter Theſprotos, & Curetas fluens, & potiſſimã regionis partem ſecans, modò his, modò illis poſſeſſionem adaugebat; ideòque inter eos teterrimo diſſidio conflictabatur. Hercules itaque cùm opem tuliſſet Ætolis, Curetas debellauit, fluuijque aquas vno alueo includens Ætolorum ditionem

βολὴν ἐκεράτωσατο τοῖς Αἰτωλοῖς τὴν γῆν, καὶ τὴν Οἰνέως Δηϊάνειραν ἔλαβεν.

Περὶ Κερβέρου ς'.

ΟʹΤι Κέρβερος ὁ Ἀϊδωνέως τοῦ βασιλέως Θεσπρωτῶν, ὃν νυκτὸς ὑφελόμενοι κλῶπες ὑπὸ σπήλαιον ἔκρυψαν ἀφεγγές. ὁ δὲ Ἡρακλῆς τοῦτον ἀγόμενος Εὐρυσθεῖ ἔδωκεν.

Περὶ Πασιφάης ζ'.

ΠΑσιφάη ἐρῶσα νεανίσκου ἐπιχωρίου ξυλλήπτορα ποιεῖται τὸν Δαίδαλον, καὶ ὑπουργὸν ποιεῖται τῷ ἔρωτι, καὶ εἰωθυῖα καὶ πρὶν, ὅτε τι ἐργάζοιτο, ἐπισκοπεῖν, εἴδωλον βοῶν τεκταίνοντος περικαλλὲς, καὶ εἰς τὰ μάλιστα ζώσῃ ἐοικὸς, συνεχῶς εἰς τὸν Δαιδάλου οἶκον ἤεσα, καὶ τότε διὰ

nē firmauit, & Oenei filiam Deianiran ſibi matrimonio iunxit.

De Cerbero 6.

CErberus Aidonei F. Theſprotorum rex erat; eum clam ſubreptum prædones in ſpeluncam obſcuram abdiderunt: & Hercules inde extractū Euryſtheo dedit.

De Paſiphaë 7.

PAſiphaē adoleſcētem indigenam eſflictim amans, Dædali opem, ac miniſterium in amore implorat; & quæ pro more, quandocunq; is aliquid operabatur, aderat inſpectura, efformantis tunc pulcherrimā Vaccæ ſtatuam, & viuæ quam ſimil-

θέαν τοῦ βοὸς ἔχουσαν τῷ ἐρωμένῳ, ὥστε ἐπάϊστος ἐγένετο. τὰ δὲ ἱστορούμενα μυθικά.

ſimillimam, eius domum callidè viſitabat; adeòque obtento Vaccæ aſpectu cũ amante clam conſueſcebat: donec poſteà res innotuit. Quæ verò reliqua narrantur omnia fabuloſa ſunt.

Περὶ τῆς Χιμαίρας η΄.

Περὶ τῆς Χιμαίρας οὕτω φησὶ Πλούταρχος ἐν τῷ Μονοβίβλῳ, τῷ περὶ ἀρετῆς Γυναικῶν. τὴν Χίμαιραν ὄρος ἀντήλιον γεγονέναι φησὶ, καὶ ποιεῖν ἀνακλάσεις, καὶ ἀνακαύσεις ἐν τῷ θέρει χαλεπὰς, καὶ πυρώδεις, ὑφ᾽ ὧν ἀνὰ τὸ πεδίον σκεδαννυμένων μαραίνεσθαι τοὺς καρπούς. τὸν δὲ Βελλεροφόντην συμφρονήσαντα διακόψαι τοῦ κρημνοῦ τὸ λειότατον, καὶ μάλιστα τὸ τὰς ἀνακλάσεις ἀποστέλλειν.

De Chimæra 8.

De Chimæra Plutarchus libro ſingulari, quem de virtute Mulierum conſcripſit, hæc habet: Chimæram montem eſſe ſoli aduerſum, refractionesq; facere, & incendia æſtate nimis feruida, & æſtuoſa, quibus per agros diſperſis, effuſisq; fruges contabeſcere. Bellerophõtem verò, cauſa mali percepta, loci præcipitis partem læuiſſimam, & quæ maximè ſolis illos radios reflectebat, excidiſſe.

De

Λέγεται περὶ αὐτοῦ, ὡς ἐν ὕδατι τὴν ἑαυτοῦ σκιὰν ἰδὼν, καὶ ἐρασθεὶς ἥλλατο εἰς τὸ ὕδωρ, ἐφ' ᾧ τὴν αὐτοῦ σκιὰν περιπτύξασθαι, καὶ οὕτως ἀπεπνίγη. οὐκ ἀληθὲς δὲ τοῦτο. οὐ γὰρ εἰς ὕδωρ ἀπεπνίγη, ἀλλ' ἐν τῇ ῥύσῃ τοῦ ἐνύλου σώματος φύσει τὴν ἑαυτοῦ θεασάμενος σκιὰν, ἤτοι τὴν ἐν τῷ σώματι ζωὴν. ἥτις ἐστὶ τὸ ἔσχατον εἴδωλον τῆς ὄντως ψυχῆς, καὶ ταύτην ὡς οἰκείαν περιπτύξασθαι σπουδάσας, τουτέστι τὴν κατ' αὐτὴν ζωὴν ἀγαπήσας, ἀπεπνίγη, γεγονὼς ὑποβρύχιος, ὡς φθείρας τὴν ὄντως ψυχήν. Ταυτὸν δὲ εἰπεῖν τὸν ὄντως ἑαυτῷ προσήκοντα βίον: ὅθεν καὶ παροιμία τις φάσκει, Δε-

De eo narrant, in aquas, cùm in illis imaginem ſuam conſpexiſſet, amoris œſtro percitum, inſilijſſe, vt vmbram ſui deoſcularetur, ſicque ſubmerſum obijſſe. Hoc tamẽ falſum eſt: neque enim in aquã, ſed in fluxam materialis corporis naturam immerſus occidit, ſua vmbra conſpecta, vita ſcilicet, quæ in corpore eſt, extremo veræ animæ idolo, eamq; veluti affinem complecti niſus, hoc eſt vitam ſecundum illam deperiens, ſuffocatur aquis ſubmerſus, tamquam qui veram animam, vel vitæ rationem, idem enim eſt, ſibi conuenientem corruperit. Hinc adagio fertur,

διὼς τὴν σαυτοῦ σκιάν. διδάσκει δὲ δεδιέναι τὴν περὶ τὰ ἔσχατα ὡς πρῶτα σπουδήν, ὄλεθρον ἡμῖν ἐνάγουσαν τῆς ψυχῆς, ἤτοι ἀφανισμὸν τῆς ἀληθοῦς τῶν πραγμάτων γνώσεως, καὶ τῆς προσηκούσης αὐτῇ κατ' οὐσίαν τελειότητος. οὕτως ὁ εἰς τὰς παρὰ Πλάτωνι Παροιμίας γράψας.

tur, Timens propriam vmbram, quo monemur, noſtrum in erga vltima, æquè ac prima ſtudium timere; quod animum, vel verã rerum cognitionem, & perfectionem, quæ illam ſecundum ſui naturam addecet, excidio dat. quemadmodum expoſuit, qui in Platonis Prouerbia commentarium edidit.

Περὶ Ἀλεξάνδρου ι'.

Ἰστέον ὅτι Ἀλέξανδρος ὁ καὶ Πάρις, οὐκ ἔκρινε τὰς Θεάς, ἀλλὰ σοφὸς γεγονώς, ἐγκώμιον εἰς αὐτὰς ἐποίησεν, ὅθεν ἐδόθη μῦθος, κρῖναι αὐτὸν μεταξὺ Παλλάδος, καὶ Ἥρας, καὶ Ἀφροδίτης.

De Alexandro 10.

SCiendum Alexandrum, qui alio nomine Paris dicebatur, non Deas iudicaſſe, ſed, cùm ſapientia excelleret, laudationem in eas ſcripſiſſe. Hinc fabulæ datus locus, eum inter Palladem, Iunonem, & Venerem ſententiam dixiſſe.

De

Φησὶ Πολύαινος ἐν τοῖς Στρατηγικοῖς, ὅτι πρῶτος τὴν τάξιν εὗρε, καὶ φάλαγγα ὠνόμασε, κέρας ἔταξε δεξιὸν καὶ λαιόν. Ταύτῃ ἄρα Κερασφόρον πλάττουσι. καὶ πρῶτος πολεμίοις φόβον ἐνέβαλε, σοφίᾳ καὶ τέχνῃ. μετὰ γὰρ μυρίαν χεῖρα πολεμίων ἐπαύξεσθαι τοῦ Διονύσου ἐκ τῶν σκοπῶν τοῦ Διονύσου δείσαντος, αὐτὸς ὅμως οὐκ ἔδεισεν, ἀλλ' ἐσήμαινε νύκτωρ τῇ Διονυσιακῇ στρατιᾷ ἀλαλάξαι μέγιστον. οἱ μὲν οὖν ἐσάλπισαν, καὶ ἠλάλαξαν, ἀντήχησαν δὲ αἱ πέτραι, καὶ τὸ κοῖλον τῆς νάπης. οἱ μὲν οὖν πολέμιοι φόβῳ πλησθέντες, ἔφυγον· τοῦ δὲ Πανὸς τὸ στρατήγημα τιμῶντες, τ [illegible]

Polyænus in Strategicis tradit, primum Pana ordinem inueniſſe, & phalangem nominaſſe, cornu læuum, dextrumque cõſtituiſſe, ideoque Cornigerum fingi. Primumque hoſtibus ſapientia, & arte terrorem inieciſſe. Cùm enim Baccho nunciaſſent ſpeculatores, innumeras hoſtium copias aduentare, Baccho timore perculſo, Pan non abiecit animos, ſed præcepit, vt noctu Bacchicus exercitus, quàm maximum clamorem tolleret: Illi itaque tubis, clamoreque perſtrepe-runt: petræ verò ſaltuumque cauitas reſonarunt. Hinc hoſtes metu concuſſi, fugam arripuere. Stratage-

Ἠχὼ τῷ Πανὶ φίλην ᾄδομεν, καὶ τοὺς νυκτερινοὺς φόβους Πανὶ κλήζομεν.

ma porrò Panis celebrantes, Echo Pani gratam, amicamque concinimus, & nocturnos exercituum terrores, Panicos appellamus.

Περὶ Ἐνδυμίωνος ιβʹ.

Ὅτι πρῶτος Ἐνδυμίων τῇ περὶ τοὺς ἀστέρας ἐσχόλασε θεωρίᾳ, ὡς ἀγρυπνεῖν τὴν πᾶσαν νύκτα, καὶ τὰς ἡμέρας ἐπὶ πλεῖον καθεύδειν. διὸ καὶ ἐρώμενος εἶναι λέγεται τῆς Σελήνης, ὡς ὑπάρχων αὐτῇ τούτου ἕνεκα προσφιλής. οὕτω Πλάτων.

De Endymione 12.

PRimus omnium Endymion ſiderũ ſpeculationi operam dedit, adeò, vt noctu inuigilaret, interdiu vtplurimùm dormiret: ideoque Luna amore eum proſequi dicebatur, tamquam qui illi ob id ſtudium gratus eſſet. Sic Plato.

Περὶ Φαέθοντος ιγʹ.

ΛΈγεται δὲ καὶ περὶ Φαέθοντος, ὡς Ἡλίου υἱός. ἔχει δὲ οὕτως. ὁ Φαέθων τὸν τοῦ Ἡλίου δρόμον ἐτεκμήρατο, ὡς τὸν τῆς Σελήνης Ἐνδυ-

De Phaëthonte 13.

DIcunt eum filium Solis fuiſſe. ſed res ita ſe habet. Phaëthon Solis curſus, quemadmodum Lunæ Endymion, obſerua-

μίων, οὐ μήν τοι ἀξίως, ἀλλὰ ἀτελῶς τὸν λόγον ἀπολιπὼν ἀπέθανεν. Καὶ ὁ Βελλεροφόντης πτηνὸς, καὶ ὡς ὁ μῦθος, οὐκ ἐγένετο, ἀλλὰ τὴν ἀστρονομίαν μετιὼν, ὑψηλά τε φρονῶν, καὶ ἄστροις ὁμιλῶν εἰς οὐρανὸν, οὐ τῷ ἵππῳ, ἀλλὰ τῇ διανοίᾳ ἀνέβη.

uabat, ſed re infecta fato functus eſt. Et Bellerophon, non volauit, vt in fabulis eſt, ſed cùm Aſtronomiæ operam nauaret, magniſque cogitationibus inflaretur, & ſideribus conſueſceret, in Cælum non equo, ſed cogitatione conſcendit.

Περὶ Ἰκάρου ιδʹ.

De Icaro 14.

ΚΑὶ ὁ Ἴκαρος νεότητι, καὶ ἀταθαλίᾳ χρώμενος, οὐκ ἐπιεικῶς ζητῶν, ἀλλὰ πολὺ ἀρθεὶς τῷ νῷ, ἐξέπεσε τῆς ἀληθείας, καὶ παντὸς ἀπεσφάλη τοῦ λόγου, καὶ εἰς πέλαγος κατηνέχθη ἀβύσσων πραγμάτων, ὃν Ἕλληνες ἄλλως μυθολογοῦσι, καὶ κόλπον ἀπ' αὐτοῦ Ἰκάριον πλάττουσιν.

ICarus iuuentute, ac ſcelere fretus, non toleranda perquirens, ſed cogitationibus mirum in modum ſuperbiens à veritate aberrauit: nec non à ratione deflectens, in Pelagus præceps corruit, qué Gręci rerum abyſſum indigetant, ab eoque Sinui Icarij nomen donant.

Ἰὼ ἡ Ἀρέστορος ἤχθετο τῇ Ἥρᾳ. πρὸ γάμου δὲ κυήσασαν γνοὺς ὁ πατὴρ, οὐ γὰρ ἔτι αὐτῇ ἡ ὄψις παρθένιος ἦν, ἀλλ' ὑπὸ τῆς ἀφροδισίου ἀκμῆς μείζων, καὶ καλλίων αὐτῆς ἐφαίνετο, ὡς καὶ βοῦς ὑπὸ τῶν Ἀργείων ἐπονομάζεσθαι, ἐχαλέπαινέ τε, καὶ ἐν φρουρᾷ εἶχεν αὐτὴν, φυλάξαι ἐπιστήσας αὐτὴν τὸν τῆς μητρὸς ἀδελφὸν Ἄργον. καὶ ὁ μὲν Ἄργος ἄϋπνος ὢν, καὶ πάντη ἄφυκτος, οὐδαμῶς αὐτὴν ἀνίει. ὅθεν καὶ Πανόπτης ἔσχεν ἐπίκλησιν. τῶν δὲ ἐπιχωρίων Ἑρμάων, βουλομένης Ἰοῦς, λαθὼν κτείνει τὸν Ἄργον. ἡ δὲ Ἰὼ ἐλευθερωθεῖσα, φεύγει σὺν τοῖς πράξασιν, ἐπιβᾶσα νεὼς φορτίδος, ὑπὸ δὲ χει-

IO Areſtoris filia Iunoni odio erat. Cùm verò, antequàm nuptui daretur, eam concepiſſe Pater cōperiſſet: neque enim vltra aſpectus virginis erat, ſed, venerea libidine, maior, ac pulchrior, vt ab Argiuis bos diceretur, ægrè ferens, eam in cuſtodia detinebat, Argo matris fratre illi cuſtode conſtituto. Argus, cùm nuſquam ſomno cederet, nec poſſet eludi, ſemper mulieri aderat: hinc Panoptes dictus eſt. Sed Mercurius vnus ex indigenis, ita Io annuente, clam Argum occidit. Liberata, vnà cum ijs, qui opem tulere, onerariam nauim aſcendens, in fugam ſe vertit. Sed tempe-

μύδρος φορηθεῖσα ἀνὰ τὸ πέλαγος, ὃ καλεῖται Ἰόνιον, καὶ πολλαχοῦ προσπλαγχθεῖσα, εἰς Ἀερίαν ἐκομίσθη, καὶ Θεὸς ἐνομίσθη διὰ τὸ κάλλος. Οὕτω Χάραξ ἐν Ἑλληνικοῖς.

peſtate in Ionium mare delata, multa loca cùm pererraſſet, tandem Aëriam appulit, & inter Deos ob pulchritudinem refertur. Hæc habet Charax in Hiſtoria Græcorum.

Περὶ Διονύσου ιϛʹ.

Ὁ Χάραξ οὕτω φησίν. Ὅτι Σεμέλη ἡ Κάδμου θυγάτηρ λέγεται κυῆσαι πρὸ γάμου. ἐν δὲ ταῖς γοναῖς κεραυνοῦ κατασκήψαντος, αὐτὴ μὲν ἠφανίσθη, τὸ δὲ βρέφος περιεγένετο. ἐκείνην μὲν οὖν, ὁποῖα ἐπὶ τοῖς διοβλήτοις λέγεται, θείας μοίρας λαχεῖν ᾠήθησαν, καὶ Θυώνην ὠνόμασαν. Τὸν δὲ παῖδα θειότατον ὄντα, ὁ Κάδμος, διότι ἐκ πυρὸς ἐσώθη, περιεῖπε, καὶ τίθεται αὐτῷ Αἰγυπτίου Διο-

De Baccho 16.

CHarax hæc tradit, Semelem Cadmi filiam, antequàm nuberet, concepiſſe. dum pareret, fulmine ictam, de medio ſublatam, puerum ſuperuixiſſe. Illa itaque vti de ſimilibus fama eſt, quaſi diuinæ naturæ particeps in Deorum numero habita eſt, & Thyone vocata. Pueri diuiniſſimi Cadmus, quòd ab igne ſoſpes euaſerat, curam gerebat, illique Dionyſij

νύσου πάτριον ὄνομα.
Ἀλέξανδρος δὲ ὁ Ἀφρο-
δισιεὺς, ἐν τοῖς Φυσι-
κοῖς οὕτω φησὶν. ὡς οὐκ
ἀσκόπως μυθεύονται ἕ-
πεσθαι Βάκχην τοῦ Διο-
νύσῳ διὰ τὴν ἐκ τοῦ οἴ-
νου χρείαν, Σατύρους δὲ διὰ
τὴν εὐκινησίαν, Λυδοὺς
δὲ διὰ τὸ τινὰς ἐξ αὐ-
τοῦ ἐκλύεσθαι, Πάρδον δὲ
διὰ τὴν πολυποίκιλον
φαντασίαν τῶν οἰνωμένων.
διάφορον γὰρ ἕκαστος, καὶ
ποικίλον ἀναδέχεται λο-
γισμὸν, ὑπὸ τοῦ οἴνου
κινούμενος. πολύστικτος
δὲ καὶ ἡ δορὰ τοῦ ζώου.
μίαν δὲ Βάκχην μανεῖ-
σαν δράσαι φόνον. πολ-
λοὶ γὰρ μεθυσθέντες ἐφό-
νευσαν. σφαλεροὶ δὲ τι-
νὲς εἶναι διὰ τὴν ἀπὸ τοῦ
οἴνου φανέρωσιν τῶν πι-
νόντων, τοῦ λογισμοῦ.

Ægyptij patrium no-
men indidit. Alexan-
der autem Aphrodi-
ſienſis in Phyſicis ſcri-
bit, Non ſine ratione
Baccham Baccho co-
mitē dediſſe Poëtas,
propter vſum vini;
Satyros propter agi-
litatem corporis; Ly-
dos, quòd eorum
nonnulli diſſoluãtur;
Pardum propter va-
riam, ac multiplicem
vino correptorum
imaginationem: va-
rios ſiquidem ac di-
uerſas, quicunque vi-
no titubat, cogitatio-
nes efformat: cauda
item animalis varijs
maculis interſtincta
eſt. Vnam item Bac-
cham in furorem ver-
ſam cædem patraſſe;
multi enim vino ma-
didi cædes efficiunt. Lubricos nonnullos, &
mobilibus plantis inconſtantes, quòd cogi-
tatio bibentium per vinum manifeſtetur.

Amo-

ποθῆσαι δὲ Ἀφροδίτην, καὶ Ἀριάδνην, ὅτι τοῖς οἰνωθεῖσι παρέπεται πλείστη τῶν γυναικῶν ἐπιθυμία. * * ἐρημοῦν τε, καὶ βλάπτειν, καὶ μαραίνειν τὸ σῶμα, τὸν πολλοῦ. ** ὑπὸ πυρὸς δὲ κεραυνωθῆναι, καὶ ἐν μηρῷ βληθῆναι, ὅτι πολλάκις ὁ οἶνος, ἡλιαζόμενος τελειοῦται τῇ κράσει, καὶ δυνάμει τοῖς κεραμίοις κρυπτόμενος. τέσσαρας δὲ γυναῖκας εἶναι αὐτοῦ ἀδελφὰς, διὰ τὸ τέσσαρας τροπὰς ἔχειν, καὶ μεταβολὰς τοῦ οἴνου.

Amore Veneris, Ariadnæque irretitum: in mulieres enim, & libidines temulẽti ſunt proni, facilesq; * * quòd corpora deſolentur, marceſcant, ac nimio vino langueant. ** Igne, & fulmine ictum, & in femore conſutum: Vinum etenim Soli expoſitum, temperie perficitur, & virtute in amphoris obſeratum. Quatuor illi ſorores; propter quatuor vini mutationes, conuerſioneſque.

Περὶ τῆς παρ᾽ Ὁμήρῳ Σειρᾶς ιζ.

De Catena Homerica 17.

Συμβάλλουσι δέ τινες Ὅμηρον, σειρὰν λέγειν τὰς ἡμέρας, καὶ τὰς τοῦ ἡλίου ἀκτῖνας.

Coniectant nonnulli Homerum catenam vocare dies, & ſolis radios.

De

ΤΟ δὲ καὶ τὸν Κρόνον ὑπὸ Διὸς δεδέσθαι οὐκ ἀληθές. ἀλλὰ φέρεται ὁ Κρόνος τὴν ἔξω φορὰν πολὺς ἀφ' ἡμῶν. ἡ δὲ κίνησις νωθὴς, καὶ οὐ ῥᾳδία τοῖς ἀνθρώποις φαίνεται. διὸ ἑςάναι αὐτὸν φασί πως πεπεδημένον. τὸ δὲ βάθος τῶν πολλῶν ἀςέρων Τάρταρος λέγεται.

FAlsò narrant Saturnũ à Ioue vinculis aſtrictum; ſed cùm ille remotior à nobis, externo curſu circumuoluatur, & motus tardus non facile ab hominibus percipiatur, eũ quodãmodo colligatum perhibent. Multorum verò ſiderũ profunditas Tartarus dicitur.

Περὶ τοῦ πυρὸς τοῦ ἀπὸ τῶν Διομήδους ὅπλων ιθ'.

De igne, qui ab armis Diomedis exſiliebat 19.

ΟΤι τὸ ἀκατάπαυςον πῦρ, ὃ ἀνῆπτεν ἀπὸ τῶν ὅπλων τοῦ Διομήδους, ὅτι Φωσφόρου παραδίδοται ἡ Ἀθηνᾶ, καὶ χορηγὸς ἐςὶ νοῦ, καὶ φρονήσεως ἀληθοῦς. αὐτὴ ἅπτει τῇ Διομήδους ψυχῇ φῶς, καὶ τὴν ἀχλὺν ἀ-

INextinctus ignis, quo Diomedea arma ardebant, Minerua traditur fuiſſe, mẽtis, veræq; prudentiæ parens: illa enim Diomedis animo lumem incendit, tenebrasq; ignorantiam vi-

φείλετο, ἤως τὴν ἀγνωσίαν, ἧς παρούσης οὐχ ὁρᾷ ψυχή. λέγεται γάρ, * Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν. καὶ τοῦτο ἂν νοηθείη τὸ πῦρ, καὶ ἡ παρασχοῦσα αὐτῷ Ἀθηνᾶ. οὕτω Πρόκλος.

* Iliad. ε΄. στ. 117.

videlicet, quæ ſi aderit, mens non videt, depulit. canit enim Poëta. *Atque inſuper atram, ex oculis nubem eripui.* idq; ignis ſignificat, & quæ illum communicauit Minerua. Ita Proclus.

Περὶ τοῦ, Μέγα δ' ἔβραχε φήγινος ἄξων κ΄.

De eo * *Magnum ingemuit tum faginus axis* 20.

Μέγα δ' ἔβραχε φήγινος ἄξων, βριθοσύνῃ. καὶ πῶς βαρύτητος αἴτιον τὸ ἀβαρές; Φασὶν οὖν, ὅτι ὁποῖον ἂν ᾖ τὸ μετέχον, τοιοῦτον ἀνάγκη φαίνεσθαι καὶ τὸ μετεχόμενον. ἑνὸς γὰρ ὄντος τοῦ μετεχομένου Θεοῦ, ψυχὴ μὲν ἄλλως, νοῦς δὲ ἄλλως, φαντασία ἄλλως, καὶ

Magnum ingemuit tũ faginus axis, Pondere. & quanam ratione, ponderis expers, ponderis eſſe cauſa poteſt? Dicunt itaque, quale fuerit continens, tale neceſſariò debet eſſe contentum. Cùm enim vnus ſit Deus, qui communicatur, alia ratione animus, alia mens; alia imaginatiò; & alia ſenſus

αἴσθησις ἄλλως μετέχει. ἡ μὲν ἀνειλιγμένως, ὁ δὲ ἀμερίστως, ἡ δὲ μορφωτικῶς, ἡ δὲ παθητικῶς. καὶ ἔστι τὸ μετεχόμενον μονοειδὲς μὲν καὶ κατὰ τὴν ὕπαρξιν, πολυειδὲς δὲ κατὰ μέθεξιν, ἄλλοτε ἀλλοῖον διὰ τὴν αὐτῶν ἀσθένειαν τοῖς μετέχουσι φανταζόμενον. καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ βάρους τὸ ἀβαρὲς αἴτιον φαίνεται.

eum participat: animus enim inuolutè, mens indiuiduè, imaginatio ſibi formas effingens, ſenſus patiẽdo. Et quod communicatur etiam, iuxtà ſui ſubſiſtentiam, vniforme eſt, participatione multiplex, alia atque alia ratione, propter participantium imbecillitatem, participantibus obiectum. Et præter hæc grauitatis etiam expers, grauitatis cauſa videtur. * Iliad. ε'. ℣. 838.

Περὶ Σολοικισμοῦ κα'.

ΟΤι Κροῖσος μετὰ τὴν τοῦ Σόλωνος ἐρώτησιν ἐν Κιλικίᾳ γεγονὼς, Σόλους πόλιν ᾤκησεν, ἐν ᾗ καί τινας τῶν Ἀθηναίων κατῴκισεν, οἳ χρόνῳ βαρβαρωθέντες ἐλέ-

De Solœciſmo 21.

CRœſus, poſt colloquium cũ Solone, in Ciliciam profectus, Solos vrbem conditam habitatoribus compleuit: inter eos & Atheniẽſium quoſdam conuocauit; qui lapſu temporis in barbariem pro-

γοντο Σολοικίζειν, ἀφ' οὗ καὶ Σολοικισμός.

prolapſi Solœcizare dicebantur. Hinc Solœciſmo nomen.

Περὶ Σεισαχθείας κβ'.

Ὅτι Σόλων ὁ Σαλαμίνιος πρῶτος Ἀθηναίων τὴν Σεισάχθειαν εἰσηγήσατο. τὸ δὲ ἦν λύτρωσις σωμάτων, καὶ γὰρ ἐπὶ σώμαμασιν ἐδανείζοντο, καὶ ἀπορῦντες ἐθήτευον.

De Siſachthia 22.

Solon Salaminius primus inter Athenienſes Siſachthiã inuexit: Id autem fuit corporum liberatio. Namque corpora obligantes mutuum accipiebant, &, cùm ſoluendo non eſſent, conflatam oppigneratis corporibus ſeruitutem ſeruiebant.



ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ

ΔΙΗΓΗΜΑΤΑ.

LIBANII SOPHISTÆ

Narrationes.

LEONE ALLATIO INTERPRETE.

Περὶ Ἡφαίστου α΄.

Ῥίπτει τὸν Ἥφαιστον Ἥρα ἐξ οὐρανοῦ τῇ τοῦ παιδὸς αἰσχυνομένη χωλείᾳ. ὁ δὲ τῇ τέχνῃ ἐχρῆτο, καὶ ἐν θαλάσσῃ σεσωσμένος ὑπὸ Δαιμόνων θαλαττίων, πολλὰ μὲν καὶ ἄλλα ἐδημιούργει, τὰ μὲν Εὐρυνόμῃ, τὰ δὲ Θέτιδι, παρ' ὧν περιεσέσωστο, ποιεῖ δὲ καὶ θρόνον τῇ μητρὶ δῶρον ἀφανεῖς ἔχοντα δεσμοὺς, καὶ πέμπει. καὶ ἡ μάλα τε ἥσθη τῷ δώρῳ, καὶ

De Vulcano I.

VVlcanum Iuno, claudicantis nãque filij pudebat, Cælo eiecit. Ille artem, à Marinis Dijs ſeruatus, in mari exercet, & inter cætera, plurima quidem tum Eurynomæ, tum Thetidi, à quibus ſalutem agnoſcebat ſuam, gratiam referens, fabricatur. Extruit porrò ſolium, vt eo munere Matrem donet. latẽtiaq; ibi vincula machinatus, mittit. Dono mater ſummopere de-

καθιζούσῃ, καὶ ἐδέθη, καὶ ὁ λύσων οὐκ ἦν. βουλὴ δὲ γίνεται Θεῶν περὶ τῆς εἰς οὐρανοὺς ἀναβάσεως Ἡφαίστου. μόνον γὰρ ἂν ἐκεῖνον καὶ λῦσαι. σιγώντων οὖν τῶν ἄλλων, καὶ ἀπορούντων, Ἄρης ὑπισχνεῖται, καὶ ἐλθὼν πράττει μὲν οὐδὲν, αἰσχρῶς δὲ ἀπαλλάττεται, πυρσοῖς αὐτὸν δειματώσαντος Ἡφαίστου. ταλαιπωρουμένης δὲ * μετ' οἴνου Διόνυσος, καὶ διὰ μέθης εἶχεν Ἥφαιστον ἑπόμενον. ὁ δὲ ἐλθὼν καὶ τὴν μητέρα * Διόνυσον. ἡ δὲ αὐτὸν ἀμειβομένη, πείθει τοὺς οὐρανίους Θεοὺς ἕνα τῶν οὐρανίων Θεῶν καὶ Διόνυσον εἶναι.

delectata eſt, ſedet, cõſtricta vinculis colligatur. Qui cõpedes illi adimeret, nullus erat. Agitur in Deorum ſenatu de Vulcani in Cælum reſtitutione; eum ſiquidem ſolum catenas reuellere poſſe: cùm alij conticeſcerent, conſilijque inopes penderent animi, auxilia ſua Mars pollicetur, qui opus infectum relinquere cogitur, turpiterque, flammis accenſis à Vulcano perterrefactus, pedẽ refert. Vbi ægrè Iuno angeretur, Bacchus Vulcanum vino madefactum, ſui audientem habet. Hinc adueniens, Iunonem propter Bacchum exſoluit. Illa de ſe merito gratiam reſtituens, Dijs cæleſtibus ſuadet, vt Bacchus in cæleſtium Deorum numero collocaretur.

Περὶ Ἀκαλανθίδος β'.

Τὴν δὲ Ἀκαλανθίδα γαλῆν ἐκ γυναικὸς ἐποίησεν ἡ πρὸς τὴν Ἥραν ἀπάτη. εἰργούσης γὰρ τῆς Ἥρας τὴν Ἡρακλεῖ τὴν ἐκ τῆς γαστρὸς ἔξοδον, τοῦτο δὲ ἀεὶ ἐποίει, ἐφ' ᾧ περὶ τῷ γόνατι συμπλέξαι τὰ χεῖρε, Ἀκαλανθὶς ὡς δὴ τεκοῦσα, οὔπω τεκούσης Ἀλκμήνης, ἐκπηδήσασα διέθει τε, καὶ ἐμιμεῖτο τὰ τῆς χαιρούσης. ἡ Θεὸς δὲ διακρουσθεῖσα ἀνεπέτασεν Ἀλκμήνης τὰς ὠδῖνας. καὶ δίκην Ἀκαλανθὶς ἐδίδου τῆς ἀπάτης τὴν μεταβολήν.

De Acalanthide 2.

ACalanthida muſtellam è muliere fecit fraus in Iunonem. Equidem cùm Iuno ortum Herculi impediret, idque ſuper genu complicatis manibus operaretur, Acalanthis quaſi parturijſſet, cùm nondum peperiſſet Alcumena, exiliens hinc, illincque iactabatur, gaudiaque vultu ſimulabat. Dea exterrita, doloribus Alcumenæ leuatis, facultatem pariundi fecit. Quare Acalanthis ſuę fraudis mutata forma pœnas luit.

Περὶ Καπανέως γ'.

Ἀπειλοῦντα Καπανέα καὶ ἄκοντος Διὸς αἱρήσειν τὰς Θήβας, ὁ Ζεὺς

De Capaneo 3.

CVm minans iactaret Capaneus, inuito licet Ioue, Thebas

κεραυνῷ βάλλει. τὸν δὲ Ἄδραστον ἵπποις αὐτοῖς διαστᾶσα ἡ γῆ δέχεται. Τυδεὺς δὲ ὑπὸ Μελανίππου τρωθεὶς ἐδεῖτο τῶν ἑταίρων βοηθῆσαι τῷ τεθνεῶτι. κτείναντος δέ τινος τὸν Μελάνιππον, καὶ κομίσαντος ἔτι ζῶντι Τυδεῖ τὴν κεφαλὴν, ὁ μὲν λαβὼν αὐτὴν τοῖς ὀδοῦσιν ἐτιμωρεῖτο. τὴν δὲ Ἀθηνᾶν αὐτῷ φέρουσαν ἀθανασίαν, τοῦτο ἐκώλυσεν ἐκδοῦναι. Πολυνείκει δὲ συγκατενεχθεὶς τῷ ἀδελφῷ, ταφῆς καὶ ἀπεστέρητο μὲν παρὰ τοῦ Κρέοντος, ἐτύγχανε δὲ παρὰ τῆς ἀδελφῆς. λέγεται δὲ καὶ ἡ γυνὴ Πολυνείκους Ἀργεία συνεφάψασθαι τοῦ ἄθλου.

bas ſe exciſurum, à Ioue fulmine ictus occidit. Adraſtum hians terra cum equis abſorpſit. Tydeus à Melanippo vulneratus, vt comites opem ferrent morienti, exorat: & cùm quiſpiam Melanippi à ſe obtrũcati caput adhuc ſpiranti Tydeo deportaſſet, dentibus ille in caput ſæuiens pœnas ſumebat: Id facinus Mineruam, ne immortalitatem, quã illi deferrebat, exhiberet, exterruit. Polynices, cum fratre dimicans, cadit: & licet à Creonte ſepultura prohiberetur, eam tamen à ſorore impetrauit. Argiam item Polynicis vxorem in periculi, laborisq; partem veniſſe, fama eſt.

Ἐκνενικηκότες οἱ Θηβαῖοι τοὺς Πολυνείκην καταγαγόντας οὐδὲ θάπτειν οὐδ᾽ ὅλως τοὺς πεσόντας ἐπέτρεπον. ἧκον οὖν αἱ τούτων γυναῖκες Ἀθήναζε, καὶ ἱκετεύσασαι, κινοῦσι μὲν ὑπὲρ τῶν νεκρῶν τὸν Θησέα. κρατηθέντων δὲ τῶν Θηβαίων, καὶ καιομένων τῶν νεκρῶν, Εὐάδνην τὴν Καπανέως γυναῖκα, ὡς λόγος, κοινωνῆσαι τῷ ἀνδρὶ τῆς πυρᾶς. τούτων οἱ παῖδες παῤάσι τιμωροῦνται, καὶ ἐπελθόντες αἱροῦσι Θήβας. ἡγεῖται δὲ ὁ παῖς Ἀδράστου, καὶ ἀναιρεῖται μόνος. τοῦ δὲ ἄρα ὁ πατὴρ μόνος τῶν ἑπτὰ λοχαγῶν ἀπεσώθη. ἔδοξε δὴ τοῦ δαιμονίου

Debellatis, qui Polynicem, illiusq; comites reducere in patriam conabantur, Thebani, ſepulturam omninò negabant. Quare eorum vxores Athenas veniẽtes precantur; ac denique Theſeo pro mortuis ſupplicant. Nec abnuit Theſeus. Deuictis itaque Thebanis, dum cremantur cadauera, Euadne Capanei vxor, vt tradunt, in mariti rogum ardentem aſcendit. Horum filij, necem parentum vlciſcẽtes, coacto exercitu, diripiunt Thebas. Dux eorum Adraſti filius ſolus in conflictu cadit, cuius pater ſolus inter alios ſeptem Duces, qui Thebas oppugnauerant, incolumis euaſerat. Id verò diuina indignatione eueniſſe

νεμεσήζαντος, τοῦ τῆδε γενέσθαι. καὶ αὐτίκα οἱ Ἕλληνες ἱερῷ τιμῶσι τὴν Νέμεσιν προσειπόντες Ἀδράστειαν τὴν Θεόν.

creditum eſt. Quamobrem Græci, nulla mora, fano Nemeſim Deam, Adraſteam cognominantes, honeſtarunt.

Περὶ Πολυκράτους ε΄.

De Polycrate 5.

Πολυκράτους Σάμου μὲν ἄρχοντος, πάντα δὲ εὐτυχοῦντος, καὶ ἐπ' οὐδενὶ λυπουμένου, δέος εἰσῄει μεταβολῆς. ἔπραττεν οὖν ὅπως ἂν ἰάσηται, καὶ δακτύλιον ὧν εἶχε κτημάτων κάλλιστον ἑκὼν μὲν ἔρριψεν εἰς τὴν θάλασσαν. οὐκ ἔχων δὲ ὕλλει. γίνεται δὴ πάλιν ὁ δακτύλιος τοῦ Πολυκράτους διὰ ἰχθύος, ὃν αἰγιαλεὺς ἁλιεὺς, μέγαν τε ὄντα, καὶ βασιλέως ἄξιον φέρων ἔδωκεν ἐκείνῳ. ὁ δὲ ἰχθὺς ὡς ἐν χερσὶ

Polycrates, Sami Tyrannus, perpetua vſus felicitate; cùm nihil illi accideret, quod nollet, triſtis de fortunæ volubilitate timebat. Vt ſeſe ab eius inuidia redimeret, ſibiq; proſpiceret, annulum, quo veluti rerum omniũ pulcherrimo delectabatur, voluntaria iactura, in mare abiecit. Eo priuatus curis angebatur. Sed recuperauit rurſus annulum, capto piſce, quem piſcator, cùm eximia magnitudine eſſet, & Rege dignus, dono illi dederat. Pi-

τῶν μαγείρων ἀναχθεὶς ἀπέδωκε Πολυκράτει τὸν δακτύλιον.

ſcis à coquis diſcerptus annulum Polycrati reddidit.

Περὶ Καλλιστοῦς ϛʹ.

Τὴν Ἥραν ὁ Ζεὺς ἐλύπει Καλλιστοῦς ἐρῶν, καὶ ποιεῖ τὴν ἐρωμένην ἄρκτον, τοῦ τὴν Ἥραν λαθεῖν, ὡς δὲ αὐτὴν ἔχει πλησίον μεταδίδωσι τοῦ οὐρανοῦ, καὶ ἔστιν ἡ καλλίστη τῶν ἀρκτώων ἀστέρων. ἀπὸ δὲ ταύτης παῖς Ἀρκὰς, ὅθεν Ἀρκάδες. οὗ τεχθέντος Ἑρμῇ τῆς σωτηρίας ἐμέλησε.

De Calliſto 6.

IVppiter, Calliſtus amore, Iunonem contriſtabat, vt Iunonem latere poſſet, amatam in vrſã conuertit, ſibique proximam Cœlo donat, eſtq; pulcherrimum ſeptentrionaliũ ſidus. Ex ea filius Arcas, vnde Arcades, naſcitur; illiusq; nati ſalus Mercurio curæ fuit.

Περὶ Σιμωνίδου ζʹ.

Ἐχώρει μὲν ἐπὶ Τάραντα Σιμωνίδης ὁ Κεῖος Λεωπρόπους ὁ ποιητής. νεκρὸν δὲ ἄταφον ὡς ἐπεῖδεν ἐρριμμένον, ἠλέησέ τε, καὶ θάπτει. ἡμέρᾳ τῇ μετὰ τὴν τα-

De Simonide 7.

SImonides Ceius Leopropis F. Poëta Tarantum adnauigabat, cùm inhumatum corpus vidiſſet proiectum, miſericordia motus hu-

φὼν πλεῖν ἐς Σικελίαν ὀνειρώττων* τοῦτον γ' ὀνείρατι κωλύων. Πείθεται μὲν ὁ Σιμωνίδης καὶ μένει. πλεῖ δὲ ἡ ναῦς, καὶ βαπτίζεται. *δὲ εἰς Τάραντα κομίσαντος τὸ πάθος, ἐγίνετο ὅσα εἰκὸς ἐπὶ τοιούτῳ κακῷ. Σιμωνίδης δὲ στεφάνους τὴν στήλην περιέθηκε. καὶ ἐναγίσας τῷ νεκρῷ Σωτῆρα αὐτοῦ τὸν κείμενον ἐκήρυξεν Ἐπιγράμματι. καὶ τοῦτο ἡ στήλη δείκνυσιν:

mauit. poſtridie illius diei, cùm haberet in animo Siciliam petere, in ſomnis, ne id faceret ab eo, quem ſepultura donauerat, admonetur. Audit Simonides, pedemque figit. Nauis, quæ ſoluerat, in nauigatione mergitur. Vbi rumor Tarētum perlatus eſt, tanti infortunij cauſa omnes, vti decuerat, affligebantur, Simonides coronis cippum coronauit, & mortuo parentans, carmine, quod in cippo extat, Seruatorem ſui, illum fuiſſe publicauit.

Περὶ Νεοπτολέμου η'.

Ἀποθνήσκει τοῖς Ἀπόλλωνος βέλεσιν Ἀχιλλεύς. θρασυνόμενος δὲ Νεοπτόλεμος ᾔτει τὸν Ἀπόλλωνα δίκας τοῦ φόνου, ἐπινοήσας ὡς οὐ καλῶς αὐτῷ τοῦτο-

De Neoptolemo 8.

Sagittis Apollinis Achilles occumbit. Neoptolemus, audacia fretus, pœnas cædis ab Apolline petebat. Cùm id à ſe malè factum cognouiſſet.

ὑπεποίητο, διαλλάξων αὐτοῦ τὸν Θεὸν εἰς Δελφοὺς ἀπῄει, καὶ ἀπέθανεν ὑπὸ τῶν ἐνοικούντων Δελφῶν, οὓς ἐξηπάτησεν Ὀρέστης, λέγων, αὐτὸν ἐφ' ἁρπαγῇ τῶν ἱερῶν ἥκειν χρημάτων.

uiſſet, Delphos, vt Deum ſibi propitium redderet, proficiſcitur; vbi ab incolis, quos Oreſtes illũ ad expilandas ſacras pecunias aduentaſſe, aſſerens, fefellerat, interficitur.

Περὶ Ἀλκήστιδος θ'.

Ἐθήτευσε μὲν Ἀπόλλων Ἀδμήτῳ γνώμῃ Διός. ἐθεράπευσε δὲ Ἄδμητος τὸν Ἀπόλλωνα. ἐπεὶ δὲ ἧκον αἱ Μοῖραι, καὶ ἔδει τελευτᾶν, ἀναβάλλει τὸν θάνατον αὐτοῦ ὁ Θεὸς, δεηθεὶς τῶν Μοιρῶν, αἳ τοῦτο μὲν ἄξαν. ἐζήτουν δὲ, ὃς αὐτ' ἐκείνου τὸν θάνατον ὑποστήσεται. διηνέχθη τοῖς γονεῦσιν ὁ Ἄδμητος γήρᾳ βαρυνομένοις. οἱ δὲ ἐφιλοψύχουν, καὶ οὐκ ἠθέ-

De Alceſtide 9.

NVtu Iouis Admeto inſeruijt Apollo; Admetus Apolline obſequio demeritus eſt. Cùm verò Parcæ aduenisſent, mortisq; dies inſtaret, precibus Deus Parcas cohibuit, vt mortem illius in aliũ differrent diem. Obſecundantes illæ, aliũ, qui pro eo mortem obiret, poſcebant. Confugit ad parentes ſenio graues Admetus, qui amore lucis huiuſce exitum à ſe

χοντο ἀπιέναι· παρέρχεται δὴ τὴν φύσιν Ἄλκηστις ἡ γυνή, καὶ αὐτὴ ἀποθνήσκει. πένθους δὲ κατέχοντος τὴν οἰκίαν Ἡρακλῆς ἥκων ξενίζεται, καὶ μαθὼν τὴν τύχην, καὶ πονέσας, καὶ κρατήσας τῶν κάτω Δαιμόνων, ἐπανάγει τὴν ἄνθρωπον.

repellebant. Inter eos Alceſtis vxor, ſupra humanum captum, pactam conditionem ſubit, & moritur. Mœrore domo concuſſa, Hercules adueniens hoſpitio excipitur, & fortunam miſeratus, deuictis Inferis mulierem luci reſtituit.

Περὶ Κανδαύλου ι΄.

Ἤρα τῆς ἑαυτοῦ γυναικὸς ὁ Κανδαύλης, καὶ παρεκάλει τὸν Γύγην ἐπὶ τὴν θέαν τῆς ὥρας. Ὁ δὲ τὸ πρῶτον ἀρνούμενος, ἐγκειμένου τοῦ Κανδαύλου, συνεχώρησεν. ὑφ᾽ οὗ δὴ καὶ καταστὰς ὄπισθεν τῆς θύρας τὴν γυναῖκα καταγυμνουμένην ἰδὼν ἀπηλλάγη. ἡ δὲ μεταστραφεῖσα τὸ πραχθὲν

De Candaule 10.

VXorem Candaules deperibat, Gygemque ſæpiùs interpellabat, vt eius pulchritudinem ante oculos ſibi proponeret. Gyges priùs recuſare, ſed cùm impenſiùs inſtaret Candaules, tandem ceſſit: à quo deinde poſt fores collocatus, dum ſe mulier exueret, conſpexit, receſſitq; Vxor conuerſa factum de-

οὐκ ἠγνόησεν. ἐώνεικέ τε σιγῇ. μεταπέμπεται δὲ τὸν Γύγην, ἐπειδὴ ἡμέρα ἦν, καὶ ἐκέλευσεν ἀποθνήσκειν αὐτὶ τῆς θέας, ἢ τοῦτο δρᾶν τὸν Κανδαύλην, ὑπισχνουμένη συνοικήσειν αὐτῷ μετὰ τὸν φόνον τὸν Γύγῃ. ἤρεσκε μὲν οὐδέτερον. εἰς δὲ τὸ κτείνειν ἀπέκλινε. καὶ διαχειρισάμενος καθεύδοντα τὸν δεσπότην, γαμεῖ τε ἐκείνην, καὶ βασιλεύει Λυδῶν.

Περὶ Δάφνης ια'.

ΔΑ'φνης τὸ κάλλος ἐγέννησε μὲν Λάδων ὁ ποταμὸς, ἐθαύμασε δὲ Ἀπόλλων: παθὼν δέ τι πρὸς αὐτὴν ἐρωτικὸν, ἐπεὶ πείθειν οὐκ εἶχεν, ἐδίωκεν. ἡ δὲ εὔχεται τῇ γῇ μὴ ἁλῶναι, καὶ τυχοῦσα τῆς εὐχῆς ἀφανίζεται· καὶ τὸ μὲν

deprehendit, ſilentioque ſuſtinuit. Cùm dies illuxit, Gygem aduocat, vt pro aſpectu illo mortem obeat; imperat, ſin minùs in Candaulem ſimilia patret, Gygæ nuptias poſt cædem pollicita. Neutrũ arridebat, tamen in cædem inclinauit, &, cũ abdormiẽtem dominũm obtruncaſſet, eã ſibi locat, & Lydorum imperio potitur.

De Daphne II.

DAphnes pulchritudinem Ladon fluuius genuit, Apollo prædicauit: vbi eam amare occæpit perditè, nec audientem haberet, inſequebatur. Virgo terram exorat, ne in manus amatoris veniat; nec irrita

σῶμα δένδρον ἐγίνετο. Δάφνη δὲ τὸ δένδρον ἦν. ὁ Θεὸς δὲ τὸν πόθον οὐ κατέλυεν, ἀλλὰ τὰ πρὸς τὴν κόρην μετήνεγκεν ἐπὶ τοὺς κλάδους, καὶ ἐστιν ἐραστὴς τῶν φύλλων.

irrita prece, euaneſcit, corpus in arborem excreuit, & Daphne arbor erat. Verùm Apollo neque ſic amore ſolutus, puellæ delicias in ramos conuertit, & eſt foliorum amator.

Περὶ Πρόκνης, καὶ Φιλομήλης ιβʹ.

Ἐξ Ἀθηνῶν Τηρεὺς Πρόκνην ἄγεται τὴν Πανδίονος, ὃς ἐβασίλευεν Ἀθηναίων. οὗτος δὲ Τηρεὺς ἐκράτει Θρᾴκης. χρόνου δὲ προϊόντος ἐπιθυμίᾳ λαμβάνων τὴν Πρόκνην, ἰδεῖν Φιλομήλαν τὴν ἀδελφήν, καὶ διὰ τοῦτο ἐλθὼν Ἀθήναζε, καὶ λαβὼν, ἐν τῇ πορείᾳ μίγνυται τῇ παρθένῳ, βιαζόμενος, οὐ πείσας. φοβούμενος δὲ τὸν

De Progne, & Philomela 12.

Athenis Prognem Pandionis Athenienſium regis F. ſibi Tereus Thracum Rex in matrimonio collocat. Poſt decurſum temporis, Philomelæ ſororis videndæ Progne in deſiderium incidit. Ideo Tereus profectus Athenas, Philomelam conducit, & in itinere Virginis pudicitiæ, & vim, & vitium attulit. Timens ne res prodiret in lucem, linguam

ἔλεγχον, τὴν γλῶτταν ἐξεῖλεν πόῤῥω τῆς πόλεως ἵδρυσεν ἐν κώμῃ φύλακά τινα παρακαταστήσας. ἄλλως μὲν οὖν οὐκ ἦν μηνῦσαι τῇ Πρόκνῃ τὸ τόλμημα. τῆς ἑορτῆς δὲ ἐπελθούσης, ἐν ᾗ τῇ βασιλίδι τὰς Θρᾴττας δῶρα πέμπειν νόμος ἦν, πέμπει πέπλον ἡ Φιλομήλη γράμματα ἐνυφήνασα. τὰ δὲ ἐδήλου τὴν βίαν. ἡ δὲ, ὡς ἔγνω, τὴν μὲν μεταπέμπεται, τὸν δὲ Ἴτυν ἀπέσφαξεν ὃς ἐκ Τηρέως ἦν αὐτῇ, καὶ εἱστίασε τὸν πατέρα τῷ σώματι τοῦ παιδός. ὡς δὲ δὴ ἐκόρεσεν, ἐδίδασκεν αὐτὸν, ἥτις ἦν ἡ βρῶσις τὰ ἀκρότερα δείξασα. ὁ μὲν οὖν ἐδίωκεν ὡς ἀποκτενῶν, αἱ δὲ ἔφευγον.

guam abſcidit, longèque ab vrbe in oppido puellam ablegat, &, vt aſſeruaretur magna diligentia, cuſtodem addit. Sic fieri non poſſe ratus, vt ſcelus Prognæ patefieret. Porrò cùm dies feſtus ageretur, quo mulieribus Thracibus, munuſculis Reginam donare ſolemne erat; Philomela peplum mittit, in quo litteras intexuerat, quibus vim ſibi illatã ſignificabat. Vt vidit Progne, ſororem accerſit, Ityoſque occiſi carnibus, qui Tereo ex ea natus erat, Patrem ad epulas recepit. Ex ſaturatum monuit, quibuſnam cibis epulum extructum fuerat, extremitatibus commonſtratis. Ille itaque inſequebatur veluti occiſurus, ſorores fugiebant, & in aues

καὶ ἐν τῇ διώξει μετεβλήθησαν εἰς ὄρνεις αἵ τε γυναῖκες, καὶ ὁ Τηρεύς· Χελιδόνα μὲν ἡ Φιλομήλα, Ἀηδόνα δὲ ἡ Πρόκνη. λέγεται δὲ καὶ ὁ τοῦ παιδὸς γευσάμενος Ἔποψ γενέσθαι.

Ἄλλως ιγʹ.

Πρόκνην ἐξ Ἀθηνῶν ἠγάγετο Τηρεὺς τὴν Πανδίονος. ἐρῶσα δὲ ἡ Πρόκνη τὴν ἀδελφὴν Φιλομήλαν θεάσασθαι, Τηρέα ποιεῖται τῆς θέας διάκονον. ὁ δὲ παραλαβὼν, ἐπόθει μὲν καθ' ὁδὸν, καὶ ποθῶν ἐβιάσατο· καὶ βιασάμενος ἀφεῖλε τῶν πραχθέντων τὸν ἔλεγχον, τὴν γλῶσσαν ἀποτεμών. ἡ δὲ ἀφικομένη παρὰ τὴν Πρόκνην, εἰπεῖν μὲν οὐκ εἶχε τὸ πάθος, διηγεῖται δὲ τὸ

verſæ fuga in aërem concedunt mulieres, & Tereus; in Hirundinem Philomela, in Luſciniam Progne. Narratur & qui filij carnes deguſtauerat, in Epopem abijſſe.

De iiſdem aliter 13.

PRognem Pandionis F. Athenis Tereus ſibi matrimonio iungit, quæ cùm videndæ ſororis Philomelæ deſiderio teneretur, opera Terei vtitur. Tereus cùm eam conduceret, inter viam, amore correptus, per vim pudicitiã illi imminuit. Poſt flagitium exciſa lingua, rerum geſtarum probrũ ſatis occuluiſſe ſibi viſus eſt. Philomela vbi Prognem conuenit, quæ paſſa fuerat, cùm dicere non

re non

συμβὰν τῇ χειρὶ ἱςῷ προσυφάνασα. καὶ μαθοῦσα τὸ πάθος ἡ Πρόκνη, τὸν παῖδα τροφὴν τῷ πατρὶ παρατίθησιν. ὁ δὲ τρέφεται μὲν οἷς ἠγνόει τὰ φίλτατα. τραφεὶς δὲ, ἀνῃρεῖν ἐπεχείρει τὴν θρέψασαν. Θεοὶ δὲ τῆς συμφορᾶς τοῦ παιδὸς οἰκτείροντες ἀμφοτέρους εἰς ὀρνίθων μεταβεβλήκασι φύσεις.

re non poſſet, manibus telam contexens indicat; Progne re comperta, filium parenti in epulum parat: epulatur ille chariſſimis, ignorans; & necem illi, quæ nutrijuerat, nutritus ipſe maturat. Numina infortunio filijs miſerentes, ambo in aues conuertunt.

Περὶ Μαρσύου, καὶ Αὐλῶν ιδʹ.

Ηὔλει ἡ Ἀθηνᾶ, καὶ τὸ εἴδωλον αὐτῆς ἐν τοῖς ὕδασιν ἰδοῦσα, τὸν αὐλὸν ἔρριψεν, ὡς ἐκ ἔχον ἀσχημοσύνην τοῦ προσώπου τὸ αὐλεῖν. γίνεται δὴ εὕρημα Μαρσύου. καὶ ἐποίησεν αὐτὸν αὐλητὴν ὀνομαστόν. ὁ δὲ ἐπείθετο ἤδη, καὶ Ἀπόλ-

De Marſya, & Tibijs 14.

Tibijs canebat Minerua: interea formam in aquis videt, & tibias abijcit, eo ſolo nomine, quòd dum inflatur, faciem deformant: Illas ſibi comparat Marſyas, magnumque inter tibicines Marſyæ nomen fuit, qui ſibi perſuaſerat, ſe cantu Apolline multo præſtan-

λωνος εἶναι κρείττων· καὶ εἰς ἔριν ἐκάλει. καὶ οἱ μὲν ἤριζον, ἐψήφιζόν τε αἱ Μοῦσαι, καὶ ὁ Θεὸς ἐνίκα, δίκην τε ἐπιτιθεὶς τοῦ αὐλητῇ κρεμάσας ἔδειρε, καὶ τὸ αἷμα γίνεται ποταμὸς, τοῦ δὲ ποταμοῦ ὄνομα Μαρσύας.

ſtantiorem, vocabatque eum in certamen. Sic ipſi decertabant: Muſæ ſententiam ferũt: vicit Deus, pœnaſque ſumens à tibicine, ſuſpenſum decorticat. Sanguis in fluuium vertitur: nomen Marſyas flumini dat.

Περὶ Πασιφάης. ιέ.

De Paſiphaë 15.

Ἐγκαλοῦσα τὶ τοῦ Ἡλίῳ ἡ Ἀφροδίτη πλήττει τὰς ἐκείνου θυγατέρας ἔρωσι καινοῖς. ἐρᾷ δὴ καὶ Πασιφάη Ταύρου, καὶ καρτερεῖν οὐκ ἔχουσα, φράζει πρὸς τὸν Δαίδαλον τὸ πάθος. ὁ δὲ ἦν Ἀθηναῖος, καὶ φυγὼν διέτριβεν ἐν Κρήτῃ. πείθεται δὴ, καὶ βοηθεῖ τῇ γυναικὶ διὰ βοὸς ξυλίνης· κοίλην γὰρ αὐτὴν ἐργασάμενος, καὶ κατακλείσας ταύτῃ τὴν ἐρῶσαν,

SVccenſens neſcio quid Soli Venus, illius filias amoribus nouis vulnerat, infandisq;. Sic & Paſiphaë Taurum deperit, & cùm ferre non poſſet, cupidinẽ Dædalo exponit. Hic verò Athenienſis erat, Cretæque trãsfuga morabatur. Obtemperat ergo, ligneaque vacca mulieri auxilio fuit, eam ſiquidem cùm ex-

δέρματι βοὸς καλύψας τὸ πλάσμα, κινεῖ τὸν Ταῦρον ἐπὶ τὴν εἰκόνα, καὶ ἐλθὼν μίγνυται δὴ τῇ γυναικί, βοῒ δὲ, ὡς ᾤετο. Τότε ὁ Μινώταυρος γίνεται, Ταῦρος μὲν τῇ κεφαλῇ, τὸ δὲ ἐντεῦθεν ἄνθρωπος.

excauaſſet, inibi amãtem incluſit, vaccinaque pelle, opus circumueſtiens, Taurum in imaginem cõcitat, qui aſcendens mulierem tãtùm opinione cõprimit vaccam, tunc Minotaurus naſcitur, taurino capite, reliquo corpore humano.

Ἄλλως ιϛ'.

Ἡλίου παῖς Πασιφάη γεγένηται, καὶ γενομένη τοῦ καλλίστου τῶν Θεῶν, πάθος ὑπέστη παραλογώτατον. ταύρῳ γὰρ ἐπιμαίνεται, καὶ τὸ πάθος οὐ δυναμένη διενεγκεῖν, πρὸς τὸν Δάδαλον ἤγγειλεν. ὁ δὲ ξυλίνην τινὰ μηχανὴν, περιέβαλεν, ἣ περὶ τὴν ἀγέλην συνήγετο, καὶ τὴν ἄνθρωπον ἔνδον κατακλεί-

De eadem aliter 16.

Solis filia Paſiphaë, licet Deorum pulcherrimo ſata, magno animi, & præter omnem rationem æſtu commota eſt. Amore enim Tauri inſanijt, quem cùm ferre non poſſet, ad Dædalum detulit, qui eam lignea, inſtar vaccę machina, pelle alterius, quæ cum armẽtis vnà paſcebat, cõtecta obſepſit; in eaque mulierem claudens, opus prio-

σας ἐργάζεται * ἦν ὁ πρότερος οὐκ ἠπίστατο χρόνος, καὶ τῆς ὁμολογίας ὑπόμνημα παῖς προῆλθεν ἐφ' ἑνὸς σώματος ἄμφω χαρακτηρίζων τοὺς φύσαντας.

Περὶ Ἡρακλέους ιζ'.

Ἀλκμήνη τίκτει τῷ Διῒ μὲν Ἡρακλέα, τῷ δὲ Ἀμφιτρύωνι Ἰφικλέα; καὶ τὸ μέσον τοῦ σπέρματος ἐν τοῖς ἐκγόνοις ἐδείχθη. τὰ μὲν γὰρ ἔκειτο ἐσπαργανωμένα ἀρτίγονα, δράκοντες δὲ ὡς ἐπῆλθον, ἐπιβουλευούσης Ἥρας τῷ Ἡρακλεῖ, πτήσσει μὲν Ἰφικλῆς, καὶ ὑπότρομος γίνεται, Ἡρακλῆς δὲ δέχεται τὰ ἑρπετὰ, καὶ ἀποπνίγει.

prioribus tẽporibus inauditũ aggreditur. Factum memorię cõmendat filius inde natus, in vno corpore geminos præſeferens parentes.

De Hercule 17.

ALcumena Ioui Herculẽ, Amphitryoni Iphiclem vno fœtu enixa eſt. Quantùm inter ſe differrent ſemina, in prognatis oſtenditur. Illi enim recens ſuſcepti, faſcijs obuoluti cubabant; ſerpentes, Iunone Herculi inſidias moliente, irrepunt. Pauet Iphicles, exanimaturque præ metu: Hercules ſerpentes ſuſtinet, ſuffocatque.

Ἄλλως ιη'.

Θεῶν αἱ γοναὶ καὶ περὶ τὰ σπάργανα φαίνονται. δηλοῖ δὲ ἡ συνουσία Διί, καὶ μετ' αὐτὸν Ἀμφιτρύωνι, καὶ συνουσίας διττῆς ἐπὶ τῶν παίδων φέρουσα γνώρισμα. προῆλθε μὲν γὰρ Ἡρακλῆς τοῦ Διός, ὁ δὲ Ἰφικλῆς Ἀμφιτρύωνος. καὶ κειμένων ἐν σπαργάνοις τῶν παίδων, Ἥρα μὲν τοῖς παισὶν ἐπαφίησι δράκοντας, Ἡρακλῆς δὲ ἑωρακὼς ὁμοῦ τῇ θέᾳ προσιόντας ἀνῄρηκεν, καὶ πρὸς αὐτὴν Ἰφικλέους καταπεπληγμένου τὴν θέαν, ἄθλων προοίμιον τὴν τοῦ βίου ἀρχὴν ἐποιήσατο.

Περὶ Λητοῦς ιθ'.

Ἤπειγον αἱ ὠδῖνες τὴν Λητώ. ἐξέχετο δὲ

De eodem aliter 18.

DEorum ſatu editi in ipſis etiam faſcijs ſui ſpecimen edunt. Cum Ioue prior cõcubitus, poſt eum cum Amphitryone ſatis indicat, qui cõmercij duplicis in filijs ſignum gerit. Suſcipitur namque è Ioue Hercules, ex Amphitryone Iphicles: quibus, dum inter faſcias quieſcunt, Iuno ſerpentes immittit: Vt vidit Hercules irruentes necat, & ad ipſum trepidante Iphicle conſpectum, certaminum præludium vitæ principium fecit.

De Latona 19.

PRopinqua paritudo Latonam ve-

αὐτὴν οὔτε ἤπειρος, οὔτε νῆσος οὐδεμία τῶν φανερῶν. ἡ Δῆλος δὲ πρῶτον μὲν ἠφανίζετο τῇ θαλάσσῃ· τότε δὲ γνώμῃ Διὸς ἀνέδυ τε, καὶ ἐξεφάνη, καὶ ἐδέξατο τὸν τόκον. τεχθεὶς δὲ ὁ Ἀπόλλων εὐθὺς ἦν τοξότης· καὶ ἔργον αὐτοῦ πρῶτον ὁ Δράκων, ὃς ἐπολέμει τῇ Λητοῖ βουλομένῃ τεκεῖν.

xabat, ſed eam neque Inſula, neque Continens vlla, ex ijs quæ videbantur, excipiebat. Delus, quæ prius maris fluctibus immerſa latebat, tunc conſilio Iouis exilijt, apparuitque, & partum accepit. Satus eſt Apollo ſagittis armatus: & ante omnia Draconem confecit, qui Latonæ parturienti inuiſus, ac moleſtus erat.

Περὶ Ἀλεκτρυόνος κʹ.

Ὁ Ἀλεκτρυὼν ὄρνις ἐστὶν ἐξ ἀνθρώπου τὸ πρίν· ὅτε δὲ ἦν ἄνθρωπος, Ἄρεως ἦν δορυφόρος. τούτῳ παρέδωκε τὰς θύρας τοῦ θαλάμου Ἄρης, ὅτε ἠδίκησεν εἰς τὴν εὐνὴν τὸν Ἥφαιστον, ἐφ᾽ ᾧ περὶ τὸν περίορθρον τὰς θύρας ἀράττει, ὡς μὴ ἁλῷ μοιχεύων. κε-

De Gallo. 20.

Gallus ex homine nunc auis eſt. Inter homines Armiger Martis. Mars illi thalami portarum cuſtodiam demãdauit, cùm iniurius Vulcani lectum aſcendit, vt is circa diluculum fores pulſaret, ne in adulterio deprehenderetur.

κοιμῶνται οὖν ἀμφότεροι, καὶ ὁ θεράπων, καὶ ὁ δεσπότης, καὶ τὸ ἔργον ἐγνώσθη τῆς ἡμέρας φανείσης. γίνεται οὖν ὄρνις ὁ στρατιώτης ταύτην ὑπέχων τὴν δίκην. καὶ πολλὰ δηλοῖ τὸν πάλαι στρατιώτην, ὁ λόφος, ὁ θυμὸς, τὰ κέντρα. καὶ μεμνημένος γε, ἐφ' ᾧ τοῦτο ἔπαθε, πρὶν ἥλιον ζεύξασθαι τὸ ἅρμα, τῶν ἀνθρώπων ἐλαύνει τὸν ὕπνον διὰ τῆς ᾠδῆς.

tur. Vtriſque itaque & ſeruo, & domino ſomnō conſopitis, die illuceſcente, ſcelus fit palam. Quare miles vecordiæ pœnas luens, in Auem auolat. Multaque eum militem fuiſſe indicio ſunt, criſta, generoſitas, calcaria. Et infortunij memor, antequàm Sol currū infrænet, ſomnum cantu ab hominibus excutit.

Περὶ τῆς τοῦ Πάριδος ἁρπαγῆς κα'.

De Paridis raptu 21.

Θέτιν ὁ Ζεὺς ἐθαύμαζε τοῦ κάλλους, παρὰ δὲ τῆς Νυκτὸς ἀκούσας, ὡς ὁ τικτόμενος ἐκ Θέτιδος ἀμείνων ἔσται τοῦ πατρὸς, αὐτὸς μὲν οὐ μίγνυται, Πηλεῖ δὲ δίδωσι. καὶ δέχεται μὲν τοὺς γάμους τὸ Πήλιον,

Formoſam Iuppiter Thetin ardebat, ſed à Nocte certior factus è Thetide ſuſcipiendum, multò præſtantiorem Patre futurum, ipſe ſe concubitu interdicit, quē Peleo concedit. Sic

καὶ Θεῶν ὕπνον, καὶ Ἀπόλλωνος ᾠδήν. ἡ δὲ Ἔρις, οὐ γὰρ μετεῖχε τῆς θοίνης, μῆλον χρυσοῦν ἀφίησιν εἰς τὴν τράπεζαν. δῶρον εἶναι τῆς καλλίστης Θεῶν, τούτῳ ἐνεγέγραπτο. γίνεται οὖν ἀμφισβήτησις τὸ μῆλον, τῇ τοῦ Διὸς γυναικὶ, καὶ Ἀφροδίτῃ, καὶ Ἀθηνᾷ. ὁ δὲ φεύγει μὲν αὐτὸς τὴν κρίσιν, ποιεῖ δὲ αὐταῖς Πάριν τὸν Πριάμου κριτήν. ὡς οὖν ἧκον περὶ τὸν βουκόλον, νικᾷ μὲν ἡ Ἀφροδίτη· τοῦτο γὰρ ἄμεινον ὁ Πάρις ἡγήσατο, βασιλείαν τε, ἣν ἐδίδου τῆς Ἀσίας ἡ Ἥρα, καὶ τὸ μαχομένων κρατεῖν, ὃ τὴν τῆς Ἀθηνᾶς ὑπόσχεσις, παρῃτήσατο. ναυπηγεῖ δὲ καὶ πλοῖον, καὶ λαμβάνει τὴν Ἑλένην, καὶ ἀπόλλυσι τὸ Ἴλιον.

Pelion ſolemnia nuptiarum, Deorum cubitum, & Apollinis cantus celebrat. Diſcordia, epularum expers, pomum aureum, quod Dearum pulcherrimæ donum eſſet, vt inſcriptio ferebat, inter epulas proijcit; turbaſque inter Iouis vxorem, Venerem, & Mineruam pomum excitat. Iuppiter à iudicio ferendo abſtinet, cauſæ tamen Paridem Priami filium iudicẽ creat. Sententia itaq; bubulci Paridis propter oblatam Helenã Veneris palma eſt. Hoc nãq; potius eſſe duxit, regno, quod illi Aſiæ pollicebatur Iuno, atq; de alijs inter concertãdum victoria, quam Minerua promiſerat. Nauem ergo ædificat, rapit Helenam, & Ilium perdit.

Περὶ Δαναοῦ, καὶ Αἰγύπτου κβʹ.

Ἐγένοντο Δαναῷ πεντήκοντα θυγατέρες· ὁ δὲ Αἴγυπτος Δαναοῦ ἀδελφὸς καὶ αὐτὸς ἦν υἱέων πεντήκοντα πατήρ. ἐβούλετο οὖν συνοικεῖν τὰς ἑαυτοῦ θυγατέρας τοῖς ἐκείνου παισί· καὶ τῶν γάμων δρωμένων, ἐγχειρίδια δοὺς Δαναὸς ταῖς παρθένοις, ἐκέλευσεν ἑκάστην, ᾧ συνεγένοιτο, τοῦτον κτείνειν. ταῖς μὲν οὖν ἄλλαις ἐτολμήθη τὸ ἔργον, καὶ ἀπέθνησκον οἱ νυμφίοι. τῇ δὲ Ὑπερμνήστρᾳ δεινὸν τὸ πρᾶγμα ἐφάνη· καὶ ἀπειθήσασα τῷ πατρί, φείδεται τοῦ Λυγκέως. φεύγει δὴ Δαναός, καὶ ἧκεν εἰς Πελοπόννησον, καὶ κατέχει τὸ Ἄργος.

De Danao, & Ægypto 22.

Natæ ſunt Danao filiæ quinquaginta, Ægypto item Danai fratri totidem filij. Erat ergo illi in animo filias, Fratris filijs collocare. Dum nuptiæ celebrantur, Danaus pugiones virginibus impertiens, mandat vnicuique, vt cui nupſerat, morti dedat. A' cæteris itaque facinus patratum eſt, ſponſique occubuere. Horrendum id viſum Hypermneſtræ, quæ non obediens patri, Lynceo parcit. Fugit Danaus, & in Peloponneſum perueniens Argo potitur.

Περὶ Ἰκαρίου κγ΄.

Ἐπεφοίτησεν Ἰκαρίῳ Διόνυσος. ὁ δὲ αὐτὸν ἐδέξατο, καὶ ἐθεράπευσεν. καὶ λαμβάνει παρὰ θεοῦ δῶρον τὴν ἄμπελον. καὶ διδάσκεται τὴν τέχνην. ὡς δὲ ἧκεν εἰς Θρᾴκην, πιόντες οἱ Θρᾷκες ἐμεθύσθησαν. καὶ ἡγήσαντο φάρμακον τὸν οἶνον. καὶ ἐν τούτῳ δόξης ὄντες ἀπέκτεινον τὸν Ἰκάριον.

De Icario 23.

Venit ad Icarium Bacchus. Ipſe eum excepit, habuitque humaniſſimè, & loco muneris à Deo vitem habuit, arteq; perdoctus eſt probè. Tandem in Thraciam peruenientem, vino Thraces hauſto temulenti, nam vinum venenum eſſe exiſtimarunt, neci tradunt.

Περὶ Ἀρίωνος κδ΄.

Ὁ Ἀρίων Μηθυμναῖος ὤν, ἐκ Μηθύμνης ἔπλευσεν εἰς Κόρινθον. καὶ δείξας αὐτόθι τὴν τέχνην εὐδοκίμει. βουλόμενος δὲ καὶ ἐν Ἰταλίᾳ γενέσθαι λαμπρὸς, ἔπλευσε κἀκεῖσε, καὶ αὖθις εὐδοκιμεῖ. Γενομένων δὲ αὐτῷ χρημάτων με-

De Arione 24.

Arion Methymnæus, Methymne Corinthũ adnauigat, vbi ſuæ artis ſpecimen edens, in exiſtimatione erat. Verùm & Italicarum laudũ ſitiens, Italiam appulit, famamque obtinuit, & pecunijs immen-

γάλων, νεὼς ἐπιβὰς Κορινθίας, εἰς Κόρινθον ἐπαναπλεῖ. καὶ οἱ ναῦται τῶν χρημάτων ἐρασθέντες, κτείνειν ἐπεχείρουν. ὡς δὲ ἀφιστάμενος αὐτοῖς τῶν χρημάτων ἐπὶ τῷ σώζεσθαι οὐκ ἔπειθε, δευτέρας δεῖται συγχωρήσεως, στῆναι ἐν τῇ σκευῇ καὶ ᾆσαι, καὶ ἐκπηδῆσαι εἰς τὴν θάλασσαν ἐπὶ τῷ τέλει τοῦ ᾄσματος. καὶ οἱ μὲν ἐπέτρεψαν. ὁ δὲ ᾖσε, καὶ ἐξεπήδησεν. Δελφὶς δὲ αὐτὸν ὑποθεὶς τῷ κιθαρῳδῷ πρὸς Ταίναρον ἐξεκίμισεν.

menſis auctus nauem Corinthiã aſcendens, Corinthum repetit. Nautæ pecunias inhiantes, interficere parant. Cùm verò illis, modo incolumis euaderet, opes cederet, nec perſuaderet, ſecundum exorat beneficium, ſic nimirum paratus, vt caneret, & in exitu cantus ſe ſe in mare excuteret. Impetrat. Canit, iacit ſe in mare, ſed Delphinus Citharædo ſubſtratus exceptum, Tænarum in litus perducit.

Περὶ Ὑακίνθου κέ.

Ἀκούεις αἴθος Ὑάκινθον; τοῦτο ἦν πάλαι μειράκιον Ἀμυκλαῖόν τε, καὶ καλόν. ἐρασταὶ δὲ ἐγένοντο αὐτοῦ δύο, Ζέφυρός τε καὶ ὁ Λητοῦς.

De Hyacintho 25.

AVdisne florem Hyacinthũ? Puer olim erat Amyclæus, & pulcher, duoque illum amarunt Zephyrus, Latonæque

ἐπεὶ δὲ ἐχαρίζετο τῷ Θεῷ, βουλεύεται φόνον ὁ Ζέφυρος ἐπ' αὐτῷ, καὶ τηρήσας ἐπαφιέντα τὸν δίσκον, ἐπαιδεύετο γὰρ Ὑάκινθος ὑπ' Ἀπόλλωνος τὰ τοιαῦτα, πνεῖ τε ἀπὸ τοῦ Ταϋγέτου, καὶ περιτρέπει τῷ μειρακίσκῳ τὴν βολήν. καὶ τὸ μὲν ἔκειτο. ἡ δὲ γῆ ἐλεοῦσα τὸ πάθος, ἐπανῆκε τὸ ἄνθος.

filius; cùm morem gereret, obſequereturque Deo, Zephyrus in eum inſidias ſtruit, obſeruanſque, cùm diſcum eiacularetur, ab Apolline enim ſimilibus erudiebatur Hyacinthus, perflat è Taygeto, iactumq; in adoleſcentulum conuertit, & exanimat. Terra, puerum miſerata, florem emiſit.

Περὶ Ἀλφειοῦ κϛʹ.

Ἔρως ἅπτεται καὶ ποταμῶν. πόθον οὖν ἐμβέβληκεν Ἀλφειῷ Σικελικῆς πηγῆς Ἀρεθούσης, τοὔνομα. πληγεὶς δὲ ἔρχεται δι' Ἰονίου παρ' αὐτήν, φυλάττων ἀμιγές, καὶ ἐν θαλάσσῃ τὸ ῥεῖθρον.

De Alpheo 26.

CVpido & in Fluuios ſæuit. In amorem itaque compulit Siculi fontis, Arethuſę nomine, Alphęum, qui ſaucius per Ionium pontum, fluctibus non admiſta ſeruans fluenta, præterfluit.

Ἄλλως κζʹ.

Ἔρως καὶ ποταμοὺς ἐνοχλεῖ. δηλοῖ δὲ Ἀλφειὸς Σικελικῆς πηγῆς Ἀρεθούσης ἐρῶν. ὃς προϊὼν ἐκ τῆς Ἤλιδος, τὸ ῥεῖθρον οὐκ ἀναμίγνυσι πολὺ διερχόμενος πέλαγος. ὡς ἐκ τούτου * φυλάττειν ἀκέραιον τὸν τοῦ ἔρωτος πόθον.

De eodem aliter 27.

AMor Fluuios quoque ærumnis defatigat. indicio eſt Alphæus, fontis ſiculi Arethuſæ amans; qui Elide effluens, mariaque peragrans, alienis laticibus curſum non inficit, vt inde ſcilicet diſcere poſſimus purum neque admiſtum Cupidinis deſiderium ſeruare.

Περὶ Δηιανείρας κηʹ.

Δηιάνειραν τὴν Οἰνέως ἐβούλετο μὲν γαμεῖν Ἡρακλῆς, εἶχε δὲ καὶ τὸν ποταμὸν Ἀχελῷον ἔρως τῆς κόρης. ὁ δὲ ἀμφοτέρους δεδοικώς, οὐδετέρῳ χαρίζεται. στήσας οὖν ἆθλον τὴν θυγατέρα, διαγωνίζεσθαι ἐκέλευσε. καὶ Ἡρακλῆς ἐ-

De Deianira 28.

DEianiræ Oenei filiæ nuptias Hercules exoptabat; eius quoque amore Achelous fluuius tenebatur. Parens, vtriuſque metu perterritus, neutri donat. Sed filia, veluti præmio propoſita, ambos ad certamen inuitat. In eo luctans palmam tulit Hercules, fluuij

cornu

νίκᾳ παλαίων, τὸ κέρας ἀνασπάσας τοῦ ποταμοῦ, καὶ τὸ αἷμα ἔρρει ὃ καὶ ἡ γῆ· τοῦτο ἐδέχετο, ἀφ' οὗ Σειρῆνες γίνονται.

Ἄλλως κθ'.

Δηϊάνειραν τὴν Οἰνέως ἐπόθει μὲν Ἡρακλῆς, ἀντεπόθει δὲ καὶ Ἀχελῷος ὁ ποταμός. εἰς ἔργον δὲ καταστάντες ἐκ πόθου, ἀγῶνι μὲν τὴν ἅμιλλαν ἔκρινον, καὶ ἆθλον τὸν τῆς κόρης γάμον προὐτίθεντο. καὶ περιπεσὼν Ἡρακλῆς περισπᾷ μὲν Ἀχελῷον τοῦ κέρως. τὸ δὲ καταρρεῦσαν αἷμα τοῦ τραύματος κατεβάλλετο Σειρήνων γένεσιν.

Περὶ τῆς Πίτυος λ'.

Ἤρα τῆς Πίτυος ὁ Πάν. ἤρα δὲ καὶ ὁ Βορέας.

cornu diſcerpto. Hinc ſanguis manat, ſanguinem terra fouet, inde Sirenum ortus.

De eadem aliter 29.

DEianiram, Oenei filiam, ardebat Hercules; neque minùs in eius amore incitatior Achelous fluuius erat: ex amore ad manus veniunt, & certamine diſſidium abſoluunt: præmiũque victori puellæ coniugium proponitur. Sic irruens Hercules Acheloo cornu eradicat. Manans è vulnere ſanguis Sirenas dedit,

De Pinu 30.

PAn Pitym amabat: amabat & Boreas: nam-

ἣν γὰρ κόρη πρότερον ἡ Πίτυς, καὶ ἐπ' αὐτῇ ποιοῦνται τὴν αἵρεσιν, ὁποτέρῳ δεῖ χαρίζεσθαι. Τὰ δὲ ἐντεῦθεν ἐδείκνυσαν τὰ ὄντα αὐτοῖς ἀγαθὰ, ἀποδιδῶν ἑκάτερος ἀμείνων φανῆναι. Βορέας μὲν ἔπνει λαμπρότερον, καὶ ἔκαμπτε δένδρα, τὰ δὲ κατέφερεν. ὁ δὲ Πὰν ἐσκίρτα, ἐπήδα, δῶρα ἔφερε τῶν ἀναθημάτων, ἃ ἦν αὐτοῦ παρὰ τῶν νομέων: ἐφέλκεται τὴν Πίτυν. καὶ Βορρᾶς ἀλγεῖ, καὶ σφοδρῶς ἐπιπεσὼν, ὥστε καὶ τῶν πετρῶν, καὶ διέφθειρε τὴν κόρην. ἡ γῆ δὲ, καὶ γὰρ ὤκτειρε τὸ πάθος, ἤμειψεν εἰς φυτὸν τὸ σῶμα. διὰ τοῦτο Πανὶ μὲν ἐκ Πίτυος ὁ στέφανος. Βορέας δὲ καὶ τὸ δένδρον λυπεῖ. καὶ φασὶ τὸν ἦχον, ὃν ἡ Πί-

namque Pitys puella antea erat. cauſam illius conſilio ſubdunt, cui velit ipſa, morem gerat. Propterea bona ſua oſtentant, & ſtudia, vt ſuo quiſque riuali præſtantior videatur. Boreas ſerenus ſpirabat, arbores partim flectebat, partim agebat præcipites. Pan verò ſaltibus, ac tripudijs munuſcula ex Paſtorum offerumentis afferens, Pityn allicit. Indoluit Boreas, & horridior inuadens, per ſaxa puellam præcipitem agens, interemit. Terra infortunium miſerata, corpus in plantam induruit. Ideóque Panis corollæ ex Pinu, ſic enim illa arbor dicitur, contexuntur. Boreasq; arbori moleſtiam exhibet; aiuntq; ſtrepitum, quem pinus edit, dum ven-

τους ποιεῖ δεχομένη τὸ πνεῦμα, θρηνῶν εἶναι.

Ἄλλως λα΄.

Ἤρα τῆς Πίτυος ὁ Πάν. ἀντήρα δὲ καὶ ὁ Βορέας αὐτῆς. ἑκατέρου δὲ προσαγομένου τὴν κόρην, πρὸς τὸν Πᾶνα μεθίσταται· καὶ ζηλοτυπεῖ μὲν ἐπὶ τούτοις Βορρᾶς. πνεύσας δὲ ἐπ᾽ αὐτῇ βιαιότερον, τὴν μὲν κόρην ὠθεῖ. παραλαβοῦσαι δὲ ταύτην αἱ πέτραι τῷ θανάτῳ παρέδοσαν. γῆ δὲ ἐλεοῦσα τὸ πάθος, ἀνῆκε δένδρον ὅμοιον περὶ τοὺς ἐραστὰς διακείμενον. τὸν μὲν γὰρ Πᾶνα στεφανοῖ τῷ θαλλῷ, θρηνεῖ δὲ τοῦ Βορέου προσπνεύσαντος.

ventum excipit, lamentationem lugubrem eſſe.

De eadem aliter 31.

Pan Pityn deperibat; in amore riualis erat Boreas: cùm vterque puellam alliceret, puella Pani propenſior eſt; ægrè ob id exaſperatur Boreas, & violentiùs perflans puellam in præcipitia pellit. Saxa corpus dilaniant, & obtruncant. Terra puellę cõmiſereſcens, arborem edidit, non diſſimili ratione in amatores affectam. Pana ſiquidem ramis coronat; Boreas ſi flauerit, eiulat, conqueriturque mœrens.

De

Πολλοὶ μὲν ἔκειντο μνηστῆρες ὑπὸ Ἀταλάντης ἡττηθέντες, ποδωκείᾳ τῆς κόρης. ἔδει γὰρ ἡττώμενον ἀποθανεῖν, νικῶντας δὲ γαμεῖν. Ἱππομένης δὲ ταύτης ἐπιθυμῶν, δεδιὼς δὲ τὸν κίνδυνον, δεῖται τῆς Ἀφροδίτης συμπρᾶξαι. ἡ δὲ ἔδωκε τὰ χρυσᾶ μῆλα, καὶ εἶπεν ὃ χρὴ ποιεῖν ἐν τῷ δρόμῳ. ὡς οὖν ἔθεον, ὁπότε πλησίον ἡ κόρη γένοιτο, μῆλον ἠφίει, ἡ δὲ ἐθαύμαζέ τε, καὶ ὑπολειπομένη, τὸ μῆλον ἀνῃρεῖτο. ἐγγιζούσης δὲ πάλιν τὸ αὐτὸ ἐδρᾶτο. καὶ διὰ τοιοῦδε σοφίσματος, Ἀταλάντη μὲν εἶχε τὰ μῆλα, Ἱππομένης δὲ Ἀταλάντην.

PRocorum pleriq; iacebant, ab Atalanta pedum celeritate ſuperati: victo nāque mors indicta, euitari non poterat; coniugio victoribus deſtinato. Hippomenes, illius deſiderio ardēs, ſibique cauens à diſcrimine, Venerem exorat, vt adiuuet. Venus aureis malis exhibitis, modū in curſu tenendum exponit. Itaque dum curſu contendunt, vbi prope virgo aderat, malum proijciebat: illa rem admirata, & pedem ſiſtens malum colligebat. Rurſus, dum illa proxima curſu eſt, id pariter factitatum. Et hac arte Atalanta quidem mala, Hippomenes Atalantam poſſedit.

Ἀταλάντην τὴν Σχοινέως ἔχειν μνηστεύεσθαι πολλοὺς. Ἱππομένης δὲ παρ' ἑτέρους πολλοὺς ἆθλον δὲ ἑαυτὴν ἡ παῖς προὐτίθει τοῖς νικῶσιν εἰς τάχος. Ἱππομένης τὸ τάχος, Ἀφροδίτην. Ἱππομένης ἔρα τὸ σύμπτωμα, καὶ μῆλα χρυσᾶ ῥίπτει κατὰ τὸ στάδιον· καὶ ἡ μὲν τὰ μῆλα συνέλεξεν, ὁ δὲ παρῄει συλλεγούσαν καὶ τέχνῃ μᾶλλον, ἢ ῥώμῃ τὸν Ἀταλάντης γάμον ἐκτήσατο.

IN Atalantam Schœnei filiam, turba procorum ruebat; inter alios multos Hippomenes erat. Virgo victoribus in curſu præmium ſemetipſam propoſuit. Venere opem ferente, celeritatis palmã Hippomenes tulit. Aurea quippe mala inter currendum proijciebat, virgo colligebat: ſic ille colligentem anteuolans præcedebat, & arte potiùs, quàm celeritate Atalantæ nuptias aſſecutus eſt.

Περὶ Κηφέως, καὶ Περσέως λδ'.

De Cepheo, & Perſeo 34.

Κηφεὺς εἶχεν Αἰθιόπων τε ἀρχὴν, καὶ γυναῖκα καλήν· αὕτη καὶ τὰς Νηρηΐδας κάλλει νι-

CEpheus Æthiopibus imperabat, vxore eximiæ pulchritudinis felix. Illa ſiqui-

κᾶν ἐνομίζετο, καὶ ἔλεγεν. αἱ δὲ δέονται τοῦ σφῶν ἄρχοντος, λαβεῖν παρ' αὐτῆς δίκην. ὡς δὲ ἔπεισαν, ὁ μὲν ἐπὶ τὴν τοῦ Κηφέως γῆν Κῆτος ἐπέμψεν. Κηφεὺς δὲ χρησμῷ πειθόμενος, πέτρας ἐπικειμένης θαλάσσῃ, τὴν θυγατέρα ἐκδήσας, παρεῖχεν ἀπολλυμένην τῷ Κήτει. ταύτην σώζει τε, καὶ λύει Περσεὺς, τεμὼν ἐν Λιβύῃ, καὶ φέρων τὴν Μεδούσης κεφαλὴν, λίθον τε ποιήσας τὸ Κῆτος.

ſiquidem & Nereidas ipſas forma ſuperare ſe exiſtimabat, & palam profitebatur. Nereides Regē ſuum deprecantur, vt ab iniuria vindicet. Dedit ille quod petiere. Cetum enim in Cephei oras impellit. Cepheus oraculis perſuaſus, in prærupto ſuper mare ſaxo filiam colligat, vt à Ceto perderetur. Eam ſeruat, ſoluitq; Perſeus, cùm ex Libya abſciſſum Meduſę caput deferret, quo Cetum in ſaxum conuertit.

Ἄλλως λε'.

De iiſdem aliter 35.

Κηφεὺς Αἰθιοπίας κρατῶν, Κασσιέπειαν ἐκέκτητο σύνοικον· ἣ τοσοῦτον ἐπῄει διὰ κάλλος φρονεῖν, ὡς αὐτὰς οἴεσθαι Νηρηΐδας ὑπερβάλλειν. ἀγανακτήσας δὲ

Cepheus, Æthiopię rex, Caſſiepiæ coniugis thorum fouebat: quæ adeo ſibi propter formæ pulchritudinem eblandiebatur, vt Nereidas

etiam

ἐπὶ τούτοις ὁ Ποσειδῶν, κῆτος ἀνῆκε τὴν Αἰθιόπων γῆν λυμανούμενον. ἀπορῶν δὲ Κηφεὺς λύσιν τοῦ δυστυχήματος ἤκουεν, εἰ τὴν Ἀνδρομέδαν παραθείη τῷ κήτει. καὶ παρατυχὼν ὁ Περσεὺς ἀπολιθοῖ μὲν τῇ Γοργόνι τὸ κῆτος, σωτηρίας δὲ γέρας, τῆς σωθείσης ἐκομίζετο τὸν γάμον.

etiam ſuperare exiſtimaret. Hæc indignè ferens Neptunus Cetum, ad perdendam Æthiopum regionem immittit. anceps conſilij Cepheus, illud infortunij remedium audijt, ſi Andromedam Ceto expoſuiſſet. Interea caſu prætergreſſus Perſeus, Gorgone Cetum ſaxum facit; ſalutis pręmia, à ſe ſeruatam ſibi vxorem adiungit.

Περὶ Ῥήνου λϛʹ.

ῬΗνος ὁ βαρβαρικὸς ποταμὸς, σωφροσύνης ὑπάρχων κριτὴς παραρρεῖ τοὺς Κελτούς. ἐπειδὰν γάρ τις αὐτοῖς ἄρτι γένηται παῖς, λαβόντες τῷ ῥεέθρῳ παρατιθέασιν. ὁ δὲ παραλαβὼν, ἀποδίδωσι μὲν τοῖς γονεῦσι τὰ γνήσια, κτείνει δὲ τὰ νόθα παρ' αὐτῷ κα-

De Rheno 36.

RHenus, apud Barbaros fluuius, continentiæ cenſor, Celtas præterfluit: ſiquidem cùm illis recens naſcitur filius, puerum fluctibus imponunt; ille accipit, & parentibus legitimos reſtituit, adulterinos vorticibus abſor-

τυχὼν. καὶ διαγινώσκεται τὸ σῶφρον, βίῳ τε καὶ θανάτῳ.

Περὶ τῶν Ἀλωαδῶν, καὶ περὶ Ἐλάτης λζ.

Ὦτος καὶ Ἐφιάλτης Ἀλωέως μὲν γεγόνασι παῖδες, ἀδελφὰ δὲ εἶχον μετὰ τῶν βουλευμάτων τὰ σώματα. παραπλησίως δὲ τῷ μεγέθει φρονοῦντες τοῦ σώματος, βατὸν ἑαυτοῖς τὸν οὐρανὸν κατεσκεύαζον. καὶ θέντες ὄρος ἐπ' ὄρει, προϊέναι μὲν ἐπειρῶντο παρὰ τοὺς κρείττονας. ἀνακόπτει δὲ αὐτοὺς τῶν ἐγχειρημάτων ὁ Ζεὺς σκηπτῷ καταιγίζων τὸ πρὸς αὐτῶν μηχανώμενον. Ἐλάτη δὲ ἡ τούτων ἀδελφή, παραπλησία μὲν ὑπῆρχε τὸ μέγεθος, δακρύουσα δὲ τὸ

ſorptos necat: & hac ratione continentia vita, & morte æſtimatur.

De Aloidis, & Abiete 37.

OTus, atq; Ephialtes Aloei filij, corporibus, & animis coniunctiſſimi, & magnitudini corporis nō diſſimilibus cogitationibus inflati, Cœlum ſcandere aggreſſi ſunt; & monte monti ſuperimpoſito, ad præſtantiores ſtationes pro viribus contendebant: ſed eorũ conatus Iuppiter fulmine intercidit, impedijtq; quod illi moliebatur. Elate ſoror, magnitudine ſimilis, caſum deplorans, in arborem; quæ Abies dicitur, induruit, & licet natu-

συμβὰν, δένδρῳ φύσιν ἠλλάξατο, καὶ μεταβαλοῦσα τὴν φύσιν, μένει τὸ μέγεθος, ὡς ἐτύγχανε πρότερον. ὅθεν τὸ ἔπος τὴν Ἐλάτην οὐρανομήκη προσείπεν.

Περὶ Ἐνιπέως λή.

ΚΑὶ παρὰ τοῖς ποταμοῖς τὸ σῶφρον εὐδοκιμεῖ. δῆλος δὲ Ἐνιπεὺς, Τυρὼ μὲν ἐρῶσαν ἀποστρεφόμενος, ἐξ ἀπάτης δὲ τῇ παιδὶ Ποσειδῶν συναπτόμενος. ἤρα μὲν γὰρ Ἐνιπεὺς Τυροῦς, ἀντήρα δὲ καὶ Ποσειδῶν τῆς Τυροῦς, καὶ πρὸς Ἐνιπέα τῆς κόρης κλινούσης, τὴν Ἐνιπέως Ποσειδῶν ὑπεκρίνετο φύσιν, καὶ πείσας τὴν κόρην συνῆλθεν ἐκ τοῦ σχήματος, Νηλέα, καὶ Πελίαν ἐκ τῆς κόρης παῖδας προσήγαγεν, ὡς τὸ ἔπος ἐδήλωσεν.

ram immutarit, priſtinam tamen magnitudinem non amiſit. Hinc Abietem carmina ſublimem vſque ad Cœlum deprædicant.

De Enipeo 38.

HAbet etiam in fluminibus continentia locum. Enipeus id commõſtrat, qui amantem Tyro auerſatur, quam fraude deinceps Neptunus ſibi iunxit. Ardebat ſiquidẽ Enipeus Tyro, in amore Tyrus Neptunus riualis erat, & cum in Enipeum virgũcula propenderet, Enipei naturam Neptunus induit, & eo habitu non abnuentem virginem noſcens, Neleũ, Peliamq; vt Poëtæ narrant, ſuſcepit.

De

ΤΗ'ν Δανάην ὁ πατὴρ Ἀκρίσιος ἐφύλαττεν ὡς παῖδα, ἐν χαλκῷ θαλάμῳ τὴν παρθένον τηρῶν. Ζεὺς δὲ ἐρασθεὶς, καὶ χρυσὸς διὰ στέγους ῥυεὶς συνεγένετο. ἡ δὲ τίκτει τὸν Περσέα, ὃν Ἀκρίσιος ἅμα τῇ μητρὶ κατακλείσας εἰς λάρνακα παρέδωκε τῇ θαλάσσῃ. Περσεὺς δὲ καὶ ἐκ τούτου σώζεται. καὶ δίσκον ἀφεὶς ἐν ἀγῶνι τὸν πάππον ἄκων ἀπέκτεινε, καὶ τὸ μάντευμα εἰς τέλος ἦγεν.

DAnaëm filiam Acriſius parens in æreo thalamo cõcluſerat, vt integram virginitatẽ ſeruaret. Iuppiter illius amore captus, per imbrices imber aureus permeans, cum ea conſueuit: illa exinde cùm cõcepiſſet, Perſeum peperit, quem Acriſius vnà cum matre in arca incluſum in mare proiecit. Perſeus diſcrimen euaſit: mox inter certandum diſcum eiaculans, Auum occidit: & oraculum verum fuiſſe comprobatum eſt.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ

ΕΚΦΡΑΣΕΙΣ.

LIBANII SOPHISTÆ

Deſcriptiones.

Leone Allatio Interprete.

Πανηγύρεως α΄.

Πανηγύρεων δὲ, μελλουσῶν μὲν πόθος ἀνθρώποις, παρουσῶν δὲ ἡδονὴ, πεπαυμένων δὲ μνήμη. καὶ γὰρ αὖ τὸ μεμνῆσθαι καθίστησι τοὺς ἀνθρώπους ἐγγὺς τῶν ἔργων αὐτῶν. ἔχει δέ τινα καὶ ὠφέλειαν ἡ μνήμη. περὶ γὰρ Πανηγύρεως λέγοντα, καὶ περὶ Θεῶν ἀνάγκη λέγειν, οἷς αὐτὰ ποιεῖσθαι κατεδείχθησαν. Ὧν προσιουσῶν, παρασκευάζονται μὲν μετ' εὐ-

Diei Feſti I.

Celebritatum aduentātes deſideria mortalibus creāt, præſentes voluptatē, prætergreſſæ recordationem: memoria ſiquidē homines prope res ipſas geſtas collocat: habet præterea & hæc vtilitatem non mediocrem recordatio. Cùm itaq; de celebritatibus mihi ſermo ſit, de Dijs etiam, quibus eas fieri conſtitutum eſt, neceſſe eſt aliquid promere. Illæ dum accedunt.

θυμίας ἄνθρωποι. παρασκευάζονται δὲ οἱ μὲν πολλοὶ ταῦτα, ἀφ᾽ ὧν ἑστιάζονται λαμπρῶς· οἱ δὲ δὴ ἀξιώτεροι ταῦτά τε, καὶ οἷς θεραπεύουσι τοὺς Θεούς. καὶ ἀγρόθεν ἄγεται βοσκήματα, καὶ οἶνος, καὶ τ᾽ ἄλλα ὅσα ἂν ἐξ ἀγροῦ γένοιτο. ἐσθῆτά τε ἐκκαθαίρουσι, καὶ σπουδάζει ἕκαστος, ὅπως ἂν διὰ πάντων ἑορτάσῃ. τοῖς δὲ ἐνδεεστέροις παρὰ τῶν εὐπόρων ἐστὶν ἱμάτια χρησαμένοις κοσμεῖσθαι. Ἐπιστάσης δὲ τῆς κυρίας, Ἱερεῖς μὲν ἀνοίγουσι τὰ Ἱερά, καὶ ἀγαλμάτων ἐπιμελοῦνται, καὶ οὐδὲν τῶν εἰς κοινὸν φερόντων ῥαθυμεῖται. μεσταὶ δὲ αἱ πόλεις ὄχλου, τῶν ὁμόρων συῤῥεόντων ἐπὶ τὰ δρώμενα, τῶν μὲν

dunt, cum lætitia homines præparātur; præparant quoque plerique, quibus lautè conuiuentur; digniores etiam ea, quibus Deos propitios reddunt. & conuehuntur ex agris pecudes, & vinum, & quæcunque nobis ager producit: veſtes quoque expurgantur, conaturq; quilibet celebritatem per omnia ſeruare. At indigentioribus, ab habentibus commodatis veſtibus vtendi facultas datur. Vbi ſtatutus dies aduenerit, à Sacerdotibus templa reſerantur. Statuarum cura ſuſcipitur, nihilque negligitur, quod in publicam cōmoditatem faciat; plenæq; ſunt Vrbes multitudinis, quæ ex vicinia concurrit ad ſolemnitatem: & huius quidem partim pedeſtri itinere,

πεζῇ, τῇ δὲ ναυσίν. ἡλίου δὲ ἀνίσχοντος ἐν ἐσθήμασι λαμπροῖς ἐπὶ τὸν νεὼν φοιτῶσι θεραπεύσοντες Θεὸν τοῦτον, ᾧ τελεῖται ἡ πανήγυρις. ἡγεῖται μὲν οὖν ὁ δεσπότης φέρων λιβανωτόν· ἕπεται δὲ ὁ ἱκέτης ἱερεῖον κομίζων, καὶ πατράσι συνομαρτοῦσιν υἱεῖς, οἱ μὲν ἤδη αἰσθανόμενοι Θεῶν ἰσχύος, οἱ δὲ κομιδῇ νέοι· ὁ μέν τις ἄπεισι τεθυκώς, ὁ δὲ ἔρχεται τοῦτο δράσων. εὐχαὶ δὲ πολλαὶ πανταχοῦ, καὶ πρὸς ἀλλήλους ῥήματα εὔφημα. γυναικῶν ἱερεῖα μὲν ἐν ἱεροῖς· ταῖς δὲ ἄλλαις ἀρκεῖ θεάσασθαι τὸν ὅμιλον τῶν ταῦτα ποιούντων. Ἐπειδὰν δὲ αὐτοῖς εὖ ἔχοι τὰ πρὸς τοὺς δαίμονας, διαδέχον-

partim nauium velificio. Sole exorto cum veſtibus ſplendidis tēplũ introëunt, Deum illum propitiaturi, in cuius honorem celebritas agitur. Præit itaque ante omnes Dominus, thus deferens; ſubſequitur ſeruus, victimam portans; & cum parentibus vna filij gradiuntur, quidam Deorum poteſtatem perſentientes, alij paruuli pueri; hic quidem ſacrificio confecto pedem refert; alius, vt faciat, procedit. vota vbique pleraque, & inter ſe ſermones benè ominati: mulierũ in templis hoſtiæ: alijs ſatis eſt, ſi viderint eorum turbam, qui ſacrificia peragũt. Cùm porrò quæ ad Deos pertinent benè pertractata fuerint, ſequuntur menſæ: in

ται τράπεζαι, ἐν αἷς ὑμνοῖ μὲν αὐτοῦ τοῦ τιμωμένου τῇ πανηγύρει Θεοῦ. φιλοτησίαι δὲ καὶ ᾄσματα, σπουδαῖα μὲν τὰ τῶν σπουδαίων, ἐς δὲ γέλωτα πεποιημένα τὰ τῶν μὴ τοιούτων. ἑστιῶνται δὲ οἱ μὲν ἐν τοῖς Ἱεροῖς, οἱ δὲ οἴκοι. καὶ δέονται πολῖται ξένων παρὰ σφίσιν εὐωχεῖσθαι. καὶ ἐν τῷ πότῳ φιλίαι μὲν ἀρχαῖαι βεβαιοῦνται μειζόνως, αἱ δὲ ἀρχὴν λαμβάνουσιν. ἐξανιστάμενοι δὲ, οἱ μὲν τοὺς ξένους παραλαμβάνοντες δεικνύουσιν ὅ, τι ἐν τῇ πόλει θέας ἄξιον. οἱ δὲ ἐν ἀγορᾷ συγκαθήμενοι διαλέγονται σὺν φαιδρότητι. κατηφὴς δὲ οὐδεὶς, ἀλλὰ ἀνεῖται πρὸς εὐφροσύνην τὰ πρόσωπα.

ijs erga Deum, qui ea celebritate colitur, hymni, ac laudes decantantur: poſcuntur pocula, cantiones cōcinuntur, feriæ quidem ab ijs, qui ſerijs incumbunt; ad riſum verò compoſitæ, quibus alia in negotio ſunt. Epulantur præterea partim in templis, partim in ædibus, aduenasq; ciues expoſcunt apud ſe conuiuari; & inter potandum amicitiæ veteres maiorem in modum ſtabiliuntur; aliæ tumprimùm ortum ducunt: aſſurgentes deinde peregrinos deducunt, & quidquid in vrbe eſt, quod ſpectari ſit dignum, cōmonſtrant: alij in foro ſedentes, cum lætitia ſermones conferunt, nemoque mœrore triſtis conſpicitur, ſed facies omnium ad hilarita-

χρειῶν εἰσπράξεις ἠρεμοῦσι. καὶ πᾶν ὅ,τι λυπηρὸν ἐν δευτέρῳ γίνεται. γραφαὶ δὲ ἡσυχάζουσι, καὶ δικαστὴς οὐ ψηφίζεται. τὰ δὲ ἡδονὴν ἔχοντα μόνα ἀνθεῖ, καὶ οὔτε οἰκέταις πληγῶν φόβος. παιδαγωγοὶ δὲ τοῖς νέοις ἥμεροι. δειπνεῖν δὲ ἔνι τῆς ἑσπέρας λαμπρῶς. ἔνθα δὴ πολλοὶ μὲν λαμπτῆρες, ὡς ἐμπεπλῆσθαι φωτὸς τὸ ἄστυ. πολλοὶ δὲ κωμασταὶ, καὶ αὐλῶν εἴδη, καὶ συρίγγων ἐν στενωποῖς ᾠδαί. τῶν μὲν τὰ αὐτὰ ᾀδόντων, τῶν δὲ οὐ τὰ αὐτά. Τότε καὶ εἰς μέθην πιεῖν οὐ πᾶν ὄνειδος. δοκεῖ γάρ πως καὶ τούτου τὴν αἰσχύνην ὁ καιρὸς ἀφαιρεῖν. τῇ δὲ ὑστεραίᾳ τὸ μὲν Θεῖον οὐκ ἀμελεῖται.

tem effunditur. æris alieni exactio vacat, & quod triſtitiam conciliat, omne ſpernitur: reorum iudicia ſilent, iudex non dicit ſententiam, tantùm quæ gaudium cauſant, florent. neque ſeruos plagarum timor occupat; & Pædagogi ſunt iunioribus mãſuetiores. Veſperi hilarè, atque ampliter ad cœnam itur, vbi multæ quidem faces, adeo vt vrbs tota lumine impleatur; multi verò commeſſatores; & tibiarum genera, & tubarum in angiportibus cantus, tum eadem, tum diſſimilia canentium: tum ad ebrietatem quoq; potare non omninò opprobrio vertitur: namque videtur iſtiuſmodi etiam probrum tempus adimere. Sequenti die Numen haud

βραχύτεροι δὲ οἱ τῇ προτεραίᾳ θεραπεύσαντες στείχουσιν ἐπὶ τὰ θεάματα. οἷς μὲν εἰσὶ στίχων ἅμιλλαι ἐπὶ ταῦτα. οἷς δὲ ἐν τῆς σκηνῆς ἐπέκεινα. Καὶ ἡ τρίτη δὲ οὐ πολὺ τούτων λείπεται, καὶ συμπαρατείνονται τῷ χρόνῳ τῆς ἑορτῆς αἵ τε θυμηδίαι, καὶ τὸ τῆς γνώμης φαιδρόν. ληγούσης δὲ πανηγύρεως εὐχὴ περὶ τοῦ μέλλοντος, ἰδεῖν αὖθις τὴν πανήγυριν αὐτούς, καὶ παῖδας, καὶ ἐπιτηδείους. καὶ ἀπίασιν οἱ ξένοι, καὶ πολῖται παραπέμπουσιν.

haud negligitur, & ex ijs, qui anteacta die venerati, rariores ad ſpectacula procedũt; ad quæ ſunt ij, quibus in pãgendis carminibus contentio, quibus autem in ſcena eſt, vlteriùs aderunt. Et tertius quoque dies nõ multùm ab his deficit: & cum ſolemnitatum tẽpore hilaritates, & animi gaudia commenſurãtur. Deſinente tandem celebritate, vota rurſus pro futuro tẽpore celebritatem, ſe ipſos, & filios, & familiares aſpicere. Sicque aduenæ concedunt, & ciues comitantes deducunt.

Τυχαίου β.

Τύχαι δὲ ἄρα πάντα μὲν τὰ ἀνθρώπινα, ὅπη βούλονται φέρουσιν, ἐγκαθίδρυνται δὲ

Fortunæ Fani 2.

FOrtuna res humanas omnes, vt ſibi lubet, fert agitq; meritò ſedem habet in

Vr-

δικαίως ταῖς πόλεσιν, ἐξ ὧν ἅπαντα δικαίως κατορθοῦσι τιμώμεναι. καὶ τὰς μὲν καθ' ἑκάστην τῶν πόλεων ἱδρυμένας, οἱ παρ' ἑκάστην θεώμενοι φράζουσιν. ἐγὼ δὲ ἣν τεθέαμαι, καὶ διεξέρχομαι. Τέμενος ἐν μέσῳ τῆς πόλεως ἵδρυται, συγκείμενον μὲν ἐκ πλειόνων Θεῶν. Τύχης δὲ ἅπαν ὠνόμασται. καί μοι δοκοῦσιν οἱ τὴν κλῆσιν τῷ χώρῳ προσθέντες εἰς τὸ δέον ποιεῖν, οἷς γὰρ ἅπαντα Τύχη συγκρύπτεται, τούτοις ἡ Θεῶν ἀπὸ τῆς Τύχης συνεκέκρυπτο κλῆσις. κατεσκεύασται δὲ ὁ χῶρος ὧδέ πως. Ἤσκηται μὲν ἅπας ἐξ ἐδάφους εἰς ὄροφον. διῄρηται δὲ ἡ κατασκευὴ κατὰ κύκλους ἡμίσεας. ἐφ' ἑκάστῳ δὲ παντοδαπαὶ προβέβληνται κίονες. οἱ δ' αὖ κύ-

Vrbibus, à quibus in veneratione habita; omnia cũ laude perficit. at quæ in ſingulis vrbibus collocatur, eam, qui per ſingulas pererrantes vident, referunt. ego verò, quam ipſe vidi, enarrabo. Fanum in medio Vrbis iacet, cõflatur illud ex pleriſque Dijs, ſed illi nomẽ à Fortuna eſt; & qui loco nomen indiderunt, vti par erat, indidiſſe mihi videntur. Quibus enim omnia Fortuna occultat, ijſdem & Deorum nomina per Fortunam occultantur. locus hac ratione conſtructus eſt. totus à pauimento ad tectũ exornatur. & dimidiatis circulis ſtructura diuiditur, quorum in ſingulis omnium generum columnæ exponuntur. circu-

κλοι εἰσὶ πρὸς ἀγαλμάτων ὑποδοχὰς ἀνεστάμενοι, καὶ μετρεῖν ἔξεστι τοὺς κύκλους μετὰ τοῖς ἀγάλμασιν, ἐκ δὲ τῶν ἀγαλμάτων παρεστήκασι κίονες. Θεοὶ δὲ εἰσὶν ἀνεστηκότες οἱ πάντες. ἀλλ' ὅσοι δύο καὶ δέκατον ἀριθμόν. καὶ κορυφὴ μὲν ἔχει τὸν οἰκιστὴν ἐξ ἑτέρων ἄκρων καὶ μέσων. ἀνέστηκε δὲ φέρων μὲν αὐτὸς τοῦ Σωτῆρος ὑπόμνημα. φερόμενος δὲ δι' ὧν ἡ πόλις εἴωθε τρέφεσθαι. καὶ σημαίνει τῆς γῆς τὴν δόσιν ἢ χάρεις. κύκλοι δὲ καὶ μέσον ἥμισυ ὅσον ἀριθμὸς Θεῶν ὀνομάζεται ς' καὶ μέσον ἐκ μέσου Τύχης ἕστηκεν ἄγαλμα, στεφάνῳ δηλοῦν Ἀλεξάνδρου τὰς νίκας. καὶ στέφεται μὲν ὑπὸ Τύχης ἡ γῆ· στέφει δὲ αὐτὴ τὸν

li ad excipiendas ſtatuas eriguntur. & licet circulos ſtatuis commenſurare, quibus adhæſerunt columnæ. Omnes porrò Dij ſtant, ſed quotquot duo ſunt ſecundum denarium numerum. Et vertex cõtinet Conditorem ex vtriſq; extremis, & medijs. ſtat vero idem Seruatoris ferens monumentum, ſublatus ipſe per quæ vrbi alimenta ſubminiſtrantur, notatque gratia terræ vbertatem, & dona. ambit ſecundum medium quicunque Deorum numinis appellationem habet. & altero in medio Fortunæ ſtatua adſtat, corona indicãs Alexandri victorias, & coronatur quidem à Fortuna tellus, coronat verò

νικήσαντα. Νίκαι δὲ τῆς Τύχης ἑκατέρωθεν ἀνεστήκασιν, καλῶς τοῦ δημιουργοῦ τῆς Τύχης δηλοῦντος τὴν δύναμιν, ὡς πάντα νικᾷν οἶδεν ἡ Τύχη. τελευτᾷ δὲ ἡ τοῦ χώρου κατασκευὴ πρὸς ἡτοιμασμένον ἐξ ἀγάλματος ἐλάφειον στέφανον. καὶ φιλοσοφεῖ εἷς ἐπὶ καθέδρας ἄκρου. γυμνὸς δὲ ἕτερος πρὸς τὸ λοιπὸν ἀνέστηκεν. οὐρανοῦ μὲν ἐπὶ τῆς λαιᾶς φερόμενος περίσχημα, τὴν δ' αὖ δεξιὰν εἰς ἅπαντα πρόχειρον. γυμνὸς δὲ προκαλύμματος ἵσταται. καὶ στῆλαι χαλκαῖ κατὰ μέσον ἑστήκασιν ἐδάφους, ἐγκεκολαμμέναι τὰ τῆς πόλεως νόμιμα. καὶ κατὰ μέσον αἱ πύλαι παρὰ τῶν Μουσῶν ἄγουσαι τέμενος. χαλκοῖ δὲ Βασιλεῖς κατὰ μέσον ἑστήκα-

rò ipſa victorem. Victoriæ vndique Fortunam erectæ ambiunt; optimè Opifice Fortunæ facultatem exprimente, de omnibus ſcilicet Fortunam triumphum agere. finit loci ſtructura in coronã ceruinam ex ſtatuis præparatã: vnusq; Throno, qui in extremo eſt, inſidens philoſophatur; nudus alter in altero extremo aſſurgit, læua ſuſtinens Cœli effigiem, dexteram verò gerens ad omnia promptam, diſcoopertusq; capite ſtat. In pauimento medio æreæ ſtatuę ſituantur, quæ vrbicas leges inciſas habent, & circa mediũ fores, ad Muſarum ſacrarium ducentes. Ærei tandem Reges in medio aſſident,

σιν οὐχ ὅσους ἐκόμισε χρόνος, ἀλλ' ὅσοι τῶν κομισθέντων ἦσαν σεμνότεροι. Ταῦτα θαῦμα μὲν ὑπῆρχεν ἰδεῖν, κέρδος δὲ μαθεῖν, ἀδίκημα δὲ σιωπῇ κατακρύπτεσθαι.

Παλλάδος γ'.

Θεοὶ ἄρα γεγονότες δημιουργοί, δημιουργεῖσθαι παρὰ τῆς πλαττούσης ἐπίστανται τέχνης· καὶ συγχωροῦσι γενέσθαι τῇ τέχνῃ, ὅπερ φύσει γεγόνασιν. καὶ πολλοὶ μὲν Θεοὶ κατ' ἀγορὰν ἀνεστήκασιν, Ἀθηνᾶ δὲ μᾶλλον περὶ παντὸς ἕστηκε θαύματος. ἐγὼ δὲ ὃ τεθέαμαι, καὶ διηγήσομαι. Μουσῶν τέμενος ἦν, καὶ πρὸς λόγους ὁ χῶρος ἀνεῖσθαι βουλόμενος, καὶ δύο ταῦτα δημιουργῶν σύμβολα τῆς οὔσης ἐπιδείξασθαι τέχνης Α-

non quotquot ætas attulit, ſed quotquot ex allatis celebriores fuere. Hæc admiratio fuerit aſpicere, commodum perdiſcere, iniurium ſilentio inuolui.

Palladis 3,

DIj creatores cum ſint, creari ab arte efformante non dedignantur; permittuntque id arte fieri, quod natura ſunt: & multi quidem Deorum ſtant, ante verò alios non ſine admiratione Minerua eminet. Quod ipſe oculis vſurpaui meis, ediſſeram. Fanum erat Muſarum, & locus ad ſermones accommodari appetẽs, ac duas artis, quæ in eo erat, notas oſtendere,

θηνᾶν προεξανέστησεν, καὶ πρὶν ἐμβαλεῖν εἰς Μουσῶν τέμενος, ἡ Θεὸς καταφαίνεται, τὴν ἔνδον οὖσαν σημαίνουσα τέχνην. καί μοι δοκεῖ ὁ δημιουργὸς ἐπ᾽ ἀμφοῖν τοῖν καιροῖν Ἀθηνᾶν ἀναστήσασθαι. δι᾽ ὧν μὲν γὰρ αὐτὴν ἐν Μουσῶν τεμένει καθίδρυσεν, εἰρήνης ἔδειξε πρύτανιν. οἷς δὲ ἅπασαν ὥπλισε, καὶ πολέμου κυρίαν καταλείπειν δοκεῖ. Κράνος τοίνυν αὐτῆς περιβάλλει τὴν κεφαλὴν, καὶ προεξανέχει μὲν λόφος τοῦ κράνους, κορυφῆς δὲ τὸ κράνος, καὶ περιβαλὼν τὴν κεφαλὴν τῇ κυνῇ τὴν ὄψιν οὐκ ἔκρυψεν, ἀλλ᾽ αὐτόνομον ἀφῆκε τὸ πρόσωπον, ὥσπερ ἀδικεῖν τὸν τεχνίτην δοκεῖν, εἰ δι᾽ οὗ λόγοι προέρχονται, ταῦτα συγκρύψειε τοῦ πο- [illegible]

dere, Mineruam præſtruxit: & ante quàm in ſacrum Muſarum immitteret, Dea intus latentem artem indicans, palam conſpicitur. Et videtur mihi Artifex ad vtrumque tēpus Palladem excitaſſe. qua enim ratione eam in Muſarum æde collocauit, pacis oſtendit gubernatricem; qua vniuerſam armauit, belli dominam aſſeueraſſe videtur. Galea igitur illius caput amplectitur, & galeā ſupereminet vertex, verticem verò galea; & licet caput galea inuoluerit, viſum tamen non abſcondit, ſed liberam faciem reliquit; namque artifex iniurium ſe fore exiſtimauit, ſi per quę ſermones effluunt; ea inſigne belli abdiderit.

λέμου τὸ γνώρισμα. καὶ ἅμα μοι δοκεῖ ἀποφῆναι ζητεῖν, ὡς οὐδὲν λόγων γίνεται κώλυμα. τὸ δὲ πρόσωπον γυμνὸν γεῖτονὸς εἰς κάρσιον * καὶ πρὸς ἕτερα νένευκε, καὶ φοβεῖ τῶν ὀμμάτων ἑκάτερον, ὥσπερ ἀρκοῦν μόνον ἰδεῖν, καὶ φοβῆσαι μόνον δυνάμενον. τὸ δὲ στόμα διῃρημένον εἰς λόγους ἀνεῖται· καὶ ἡ δειρὰ τῷ προσώπῳ συναποκέκλιται. αὐτὸ δὲ τὸ στέρνον θώραξ τε περιβάλλει ποικίλος, καὶ κατὰ μέσον ἀνέχει πάντα, τῆς Θεοῦ συγκειμένης πρὸς ἔκπληξιν· ταῖν δὲ χεροῖν ἡ δεξιὰ μὲν ἀνεῖται γυμνή. καὶ τὸ συνέχον οὐδὲν ἔστι τῆς πράξεως ἕτοιμον, * περὶ τῆς ἄκρας περιβάλλει χειρὸς βραχὺ τῇ Θεῷ τῆς γυναικείας περιθέμενος φύσεως. ἡ δὲ λαιὰ πᾶσα

rit. ſimulque mihi videtur quæſtionē abſoluiſſe, ſermonibus nihil eſſe impedimēto. Facies denudata obliquá nutat, & aliorſum vertitur, & timorem oculi incutiunt, tamquam qui vel ſolo aſpectu formidinē inijcere poſſunt. Subdiuiſum, atque hians os in ſermones reſoluitur. Ceruix vnà cum facie demittitur. Pectus ipſum thorax varius induit, qui in medio erigitur, Dea in omnibus ad terrorem comparata. E' manibus dextera nuda laxatur, nec eſt aliquid, quod promptam actionem retardet.* ante ſummā manum ſtringit, muliebrem Deæ conditionem paulùm aſſingens. Siniſtra tota ex-

ta ex-

μὲν τέταται, καὶ πρὸς
θέναρ συγκέκαμπται,
καὶ τῆς ἀσπίδος ἄκρας
ἐπιλαμβάνεται, καὶ πᾶ-
σαν προσερείδει τῇ γῇ,
τοὐναντίον τὴν πᾶσαν
ὁπλίτας ποιήσασαν. τῶν
μὲν γὰρ αἱ χεῖρες τῶν ὀχά-
νων ἀντιλαμβάνονται, καὶ
κατὰ μέσον τὰς ἀσπίδας
ἀνέχουσιν, ὀμφαλοῦ τὸ
κατέχον συγκρύπτοντες,
οἱ δὲ τὴν ἴτυν τῶν ὀρ-
γάνων μεταχειρίζονται,
καὶ τὴν τῆς ἀσπίδος κα-
ταλήψασιν ἄκραν, ὥσπερ
ἐξαρκοῦντες, ἄκρας ἐφά-
ψασθαι, καὶ πᾶσαν με-
ταχειρίζεσθαι. τὴν δὲ
λαιὰν ὁ μετὰ τὸ θέναρ
προσέρχεται ἐπελιττόμε-
νος ὄφις· ταῦτα τῆς Θεοῦ
περικειμένης εἰς κόσμον,
ἃ φοβεῖν μὲν τοὺς ἄλλους
ἐπίσταται. Τὸ δὲ λοιπὸν
τῆς Θεοῦ πέπλος περιβάλ-
λει ποδήρης, καὶ κατὰ μέ-

ta extenditur, & ad-
uolam curuatur, ſum-
moque ſcuti appre-
henſo, integrum in
terram infigit: cùm id
è contrario alios, qui
armantur, vndique
obducat: etenim ho-
rum quidem manus
manubria tenent, &
in medio ſcuta arre-
pta tollunt, quod
vmbilicum continet
occultantes: alij in-
ſtrumentorum ambi-
tũ regunt, ſummum-
que ſcuti apprehen-
dunt, quaſi ſatis ipſi
ſint, dummodo ſum-
mum tangant, inte-
grum pertractare. Le-
uam, qui poſt volam
circumuoluitur, ſer-
pens ambit. Et his
quidem Dea ad orna-
tum circumueſtitur,
quæ alijs terrorẽ in-
cutere apta nata sũt.

Reliquum Deæ corpus talaris veſtis con-

σον συνέχει ζωστὴρ τὸν περικείμενον περιστέλλων χιτῶνα. καί μοι ἡ τέχνη δοκεῖ διπλοῦν τῇ Θεῷ καταστήσασθαι πέπλον, ὥσπερ τοὺς θνητοὺς εἰς ἀνάμνησιν ἄγουσα τῶν ἐπῶν, ἐν οἷς Ἀθηνᾶ περιβάλλεται. βραχὺ οἱ πόδες τοῦ χιτῶνος ἐξέχουσιν, ἅμα μὲν δεικνύντες, ἐφ᾽ ὧν ἀνεστήκασιν. ἅμα δὲ αἰδῶ γυναικείαν ἐμφαίνοντες, οὐκ εἰς ἅπαν ἐθέλουσι φαίνεσθαι. βραχὺ δὲ τῶν ποδῶν ὁ λαιὸς εἰς γόνυ συγκέκαμπται, καθάπαξ ἄπρακτον οὐκ ἀνεχομένης τῆς τέχνης τὴν Θεὸν καταστήσασθαι. καὶ γοῦν τὸ γόνυ δοκεῖ καὶ χωρεῖν ἐπὶ βάδισμα, ἡ δ᾽ ἀσπὶς ἐκ τοῦ εἰς ἄκρον ἀνέστηκε χειρὸς, καταθείσης μὲν τῆς Θεοῦ τὴν σκευὴν, παρεχούσης δὲ τοῖς θεωμένοις ὁρᾶν,

uoluit, & medium cinctum tunicam effuſam comprimit. Et, vt conijcio, duplicem Ars Deæ veſtem innexuit, vt carminum, in quibus Dea amicitur, memoriam mortalibus induceret. E tunica pedes parumper erumpunt; qui vnà ſimul, ſuper quibus ſtant, fulcra oſtẽdunt, & muliebrem verecundiam monſtrant, cum non integri pateant. quorum læuus ad genu modicè incuruatur: neque enim prorſus inertem ac deſidem Deam Ars conſtituere voluit. quare genu, vt appareret, viam ingreditur: ſcutum verò ob manum, quæ illud in ſummitate detinet, ſtat: Dea ipſa deponente ſupellectilem, & intuentibus, vt id

ὡς παρασκευῆς μὲν δέοι πρὸς πόλεμον, μὴ εἴη δὲ πρὸς παράταξιν πρόχειρον. οἷς μὲν γὰρ ἡ γῆ κατέχει τελευταῖος πόλεμος, δι' ὧν δὲ ἡ χεὶρ ἄκρα περιστέψαυσε τὴν παρασκευὴν σημαίνει τῆς μάχης. ἡ δ' ἀσπίς τις εἶναι δοκεῖ τοῦ Διὸς, ἐν ᾗ θύσανοι ἠώρηνται, καὶ κατὰ μέσον ἐκπλήττει Γοργὸν, πάντα τὸν φόβον δηλοῦσα τῆς μάχης, καὶ τὴν πρὸς τὸν Δία βεβαιοῦσα συγγένειαν. νίκη δὲ διπλαῖ πρὸς ἑκατέραν ἄκραν τῆς ἀσπίδος εἰσὶν, ἐπεὶ καὶ διπλᾶ κρατεῖν Ἀθηνᾶ πέφυκεν πρὸς ὅπλα καὶ λόγους. καὶ οὔτε ἡ Θεὰ τῆς ἡδονῆς ἠλλοτρίωται, οὐδὲ τὴν ἡδονὴν λαθεῖν ἀφίησιν ὁ λόγος: ἀλλ' ἔστι ῥαστώνη κοινὴ θεωμένοις, καὶ λέγουσιν.

proſpiciant indicante, ad bellum ſubeſſe illi apparatum, ſed ipſam ad aciem nõ eſſe paratã: ijs enim, quæ terra ſuſtinet, abſoluta pugna innuitur, quà verò manus verticẽ tetigit, apparatus prælij notatur. Scutũ Iouis eſſe videtur, ex quo fimbriæ dependent, & in medio torue perterrefacit, in omnibus timorẽ pugnę ſignificans, & cũ Ioue ſtabiliẽs affinitatẽ. duplex victoria ad vtramq; ſcuti partem cernitur, cũ & Minerua duplicem palmam tum in armis, tum in ſermonibus obtineat. Neque Dea longè eſt à voluptate, neq; voluptatem in latebris recondi ſermo permittit, ſed eſt vitæ omnibus & contuentibus, & enunciantibus deliciæ, ac tranquillitas.

De

Οὐκ ἦν ἄρα τὸν φθόνον, οὐδὲ τῆς Θεῶν ἔξω καθίστασθαι φύσεως. οὐδὲ τὰς χάριτας Θεῶν γε χωρὶς εἰς ἀνθρώπους ἐλθεῖν. καί μοι δοκεῖ τὶς δημιουργὸς εἰς εὐσέβειαν τοὺς ἀνθρώπους παιδοτριβῶν, Προμηθέα πλάσαι τῷ χαλκῷ κολαζόμενον. ἀνάκειται γοῦν τὶς εἰκασθεὶς Προμηθεύς, οὐχ οἷον ἄνθρωποι κολαζόμενον ἴσασιν, ἀλλ' οἷον Θεοὶ κεκλοφότα κολάζουσι. πῦρ γοῦν οὐ παράκειται Προμηθεῖ, ἀλλὰ τὴν χάριν ἡ τέχνη συνέκρυψεν. ἀετὸς δὲ Προμηθεῖ συνέστηκεν, οὐδὲ πεπλασμένον ἔξω τιμωρίας ἐῶν. ὡς γὰρ ἀνθρώπους ἐπιστρέφων εἰς τιμὴν τῶν Θεῶν, οὕτω

Haud fieri poterat, vt inuidia Deorum naturam non tangeret; & gratiæ in homines abſque Deorum ope conferrerentur. Et mihi videtur Artifex quiſpiam ad pietatem mortales inſtituens, Prometheum pœnas pendentem ære efformaſſe. Recumbit itaque aſſimilatus Prometheus, non qualem homines pœnas norunt perſoluentẽ, ſed qualem Dij furti conuictum puniunt. Non adiacet Prometheo ignis, ſed beneficium ars occuluit; Veruntamen Aquila Prometheo aſſiſtit, quæ de effićto etiam ſupplicium ſumit. Quemadmodum enim mortales in venerationem Deorum excitat,

τὴν δίκην σαφεστέραν ἀνέπλασεν. καί μοι καιρὸς διελθεῖν, ἃ καθέκαστον ὁ πλάσας ἀνέθηκε. Κολάζεται γοῦν Προμηθεὺς, καὶ τὴν κόμην ὁ πλάσας οὐκ εἰς κάλλος συνέθηκεν, ἀλλ' εἰς ἐπίδειξιν κολάσεως μείζονος. οὐ γὰρ ἀνεῖται πρὸς κόσμον ἡ κόμη, οὐ δὲ σύγκειται τοῖς θεωμένοις εἰς ὥραν, ἀλλὰ τὸ μὲν αὐτῆς συνέστηκε, τὸ δὲ ἐγκάρσιον φέρεται. καί μοι τῶν κολαζομένων ὑποσημαίνει τὸν τρόπον, ὡς αὐχμῶσί τε, καὶ κεκονιωμένοι πεφύκασι, καὶ κόσμου τινὸς, ἢ κόμης οὐκ ἐπιμέλονται. ἀλλ' ἡ μὲν φύσις τὴν κόμην, τὴν δὲ ἀκοσμίαν ἡ τιμωρία πεποίηκεν. Ἔπειτα τὴν κόμην διαδέχεται πρόσωπον ὀδυνώ-

tat, ita & ſupplicia patentiora efformauit. Sed iam tempus eſt, ſingula ab Artifice appoſita referendi. Pœnas itaque Prometheus ſuſtinet: & capillamentum non ad decorem, & venuſtatem, ſed ad maiorem ſupplicij oſtẽtationem plaſtes intorſit: non enim ad ornatum demittitur, neq; ad pulchritudinem compoſitum, intuẽtibus obijcitur, ſed partim contrahitur, partim obliquè agitatur, & punitorum modum ſubindicat. horreſcunt enim, puluereque obſiti ſunt, neque ornatus, neque comptus illis curæ eſt; ſed natura quidem capillamentum, ſupplicium dehoneſtamentum effecit. Capillamentum deinde excipit facies, mœro-

rum, magnitudine fortunæ, principarũ obtineret, ſola auri cupidine, ac ſeruitute præmebatur; & cùm in alijs ſanus eſſet, in eo ſolo immaniter, iniquèq; laborare dignoſcebatur. Aurum illi ſolummodò inſomnia erant. aurum ſiue ſaperet, ſiue deſiperet, deperibat; noctu quoque aurum mente concipiebat. Hinc, quid ipſe non auſus, quod illi rem cõpararet? & quinā modus ad conuehendum aurũ non excogitabatur? Subditis pergrandia, atque intolerabilia tributa imponebantur; quæ illi partim ex proprijs perſoluebant, partim, è terra metalla fodientes, penſitabant. ſicque præter res domeſticas diſſipatas corpora etiam continuò excruciabantur. Neque proptere

rea

τισμοῦ περιεπινοοῦντες, οὐκ ἔληγον. ἀλλ᾽ ἦν καὶ ἡ πᾶσα σπουδὴ τοῦ κρατοῦντος ἀποπλῆσαι τὰ ἔρωτα. ὁ δὲ εἶχεν ἄρα μετὰ τοῦ φιλοχρύσου, καὶ τὸ φιλόθηρον. καί ποτε, καὶ πρὸς τὴν ὕλην ἔξεισι, καὶ τοὺς κύνας ἐπισυρόμενος. ἐνταῦθα ὁ μὲν ἐλάφοις ἐπέτρεχεν, καὶ λαγωοῖς ἐφιππάζετο, καὶ τὸ κυνηγετικὸν ἐπεθώϋζεν. ἡ δὲ βασιλὶς ἑτέραν εἶχε σπουδὴν, ὅπως ὑφέλῃ τῆς ἐς τὸ χρηματίζεσθαι πανταχόθεν ὁρμῆς. κἄπως ἐπιὸν οὕτω κατὰ δαίμονα, εἰς νοῦν λαμβάνει καὶ μάλα σοφῶς τι ἐνθύμιον, ὡς εἰ μηδὲν εἰς τὸ ζῆν ἐκεῖνος γνοίη τὸν φίλον χρυσὸν συμβαλλόμενον, τοῦ πάθος αὐ

rea multiplicibus, ac ferè innumeris modis recolligẽdis pecunijs finem faciebant, ſed id totis viribus nitebantur, vt Regis deſideria explerent: qui cum auaritia venatus quoque cupidinem coniunxerat: Quare nonnunquã, & ſyluas adire, & ductis vnà ſecum canibus, nunc ceruos perſequi, nũc leporibus equo imminere; & ad venationem denique omnes hortari. Regina aliò animum aduerterat, quonam ſcilicet modo Regem ab exigendis infanda adeò ratione vectigalibus auerteret: Et aliquando ita ferente occaſione, animo idque oppidò ſapienter, concipit, Regem, ſi amicum ille aurum nihil ad ſuſtinendam vitam conducere deprehenderet, ab impetu, & vitio illo omnino de-

πάντως ἀπόχοιτο. τὸ δὲ ἦν, ὡς ἥξει μὲν αὐτὸς μετὰ κόρον τῆς θήρας, καὶ τὴν γαστέρα κορέσων. εὑρήσει δὲ τὸ δεῖπνον ἅπαν χρυσὸν, καὶ μικρόν τι λιμώξας ἐντεῦθεν τὸ τοῦ χρυσοῦ περιττὸν καταγνώσεται. ἐδόκει δὴ ταῦτα, καὶ τὸ δοκοῦν αὐτίκα ἐπράττετο. χρυσὸς μὲν ἦν μυρίος τοῖς χρυσοχόοις ἐπὶ μέρος ἀναμεμετρημένος. χεῖρες δὲ πολλαὶ διετεχνῶντο τὸ καινὸν ἐκεῖνο, καὶ χρυσοῦν ἄριστον. ἦν ἐκεῖσε καὶ χρυσήλατος τράπεζα, καὶ κρατῆρες, καὶ οἰνοχόαι, καὶ τὰ πάντα χρύσεια. καὶ ἦν ὁρᾷν ὅλον τὸ δεῖπνον χρυσὸν ἐπὶ χρυσῷ κείμενον. χρυσὸς μὲν ἦν ἡ τράπεζα, χρυσῷ δὲ καὶ τὰ κανᾶ διεσκεύαστο. ἐπὶ δὲ χρυσοῖς τούτοις χρυσᾶ καὶ τὰ ὄψα ἐτί-

ſtiturum. idque erat, eum iam venatibus exſatiatum, ad exſatiandum quoque cibis ventrem adfuturum, &c. cœnam ſibi præparatam auream inuenientem, ideoq; per breue tempus eſurientem, aurum poſtmodum tanquam ſuperuacaneum condemnaturum. Hanc illa, quam decreuerat, viam perſequi obfirmauit: innumera penè auri vis aurifabris ſeparatim pendebatur, plurimæque manus artificum nouum, illud aureumque prandium operabantur: aderant ibi & ex auro facta menſa, & pocula, & phialę, reliquaque omnia: viſebaturque vniuerſa cœna aurum auro aggeſtum, aurum quippe erat menſa, ex auro,

θεῖτο. πέρδικες ἐκ χρυσοῦ
τὰς ἀπὸ τῆς ὕλης μιμού-
μενοι, λαγωοὶ, ὄρνεις, καὶ
παῖτα ὡς ἀπὸ χρυσοῦ διε-
λάμπετο. εἶχέ τι καὶ τοῖς
ἐκ πυρὸς ὀπτωμένοις πα-
ρόμοιον. οἷς τὸ τοῦ χρυσοῦ
ἄνθος εἰς τὸ πυρωπότερον
δίκην ἀνθράκων ἐπε-
χρώζεν. ἐπεὶ δὲ καιρὸς
ἦν, ὡς εἰς ἄριστον ἧκεν ὁ
βασιλεὺς, πολλοὺς τοὺς
ἐκ τῆς θήρας ἀποστάζων
ἱδρῶτας. καὶ δὴ παρῆ-
σαν οἱ θεράποντες χρυσῆν
κομίζοντες τράπεζαν, καὶ
ὁπόσα ὡς ἐπὶ τῆς τοιαύτης
τραπέζης ἤμελλον κεῖσε-
σθαι. ὁ δὲ τὴν μὲν ὑπερεώ-
ρα, ἕτερα δὲ τὰ πρὸς
τροφὴν ἐζήτει. τί οὖν ἡ
βασιλὶς ἅμα, καὶ ξύνοι-
κος; ἔσθιε φησὶν ἀπὸ χρυ-
σοῦ βασιλεῦ. ἐπειδή σοι καὶ
χρυσὸς τὸ φιλούμενον, χρυ-
σὸς ἅπαν ἐστί σοι τὸ σπου-

ro & caniſtri cõfecti ; ſupra hæc aurea, edulia quoq; aurea apponebantur, perdices ex auro, ijs, quæ in ſiluis degunt, quàm ſimillimæ, lepores, aues, cæteraq; tanquã ex auro facta collucebãt: aderant his aliqua, rebus igne aſſatis non diſſimilia, in quibus auri flos magis ignitus, carbonum inſtar, inficiebatur. Haud intempeſtiuè, in prandiũ venit Rex, vndique riuis ex venatu ſudore fluẽte ; ſeruiq; alacres auream deferunt menſam, & quæcunque ſuper ea apponenda erant: ille aduecta negligere, aliaq; cibo conducibilia poſcere. Quid tũ Regina ſimul, & vxor? Comede aurũ, inquit, ò Rex: auroque, quod tantummodo deperis, auroque, in quod incumbis, tuaque ſtudia

δαζόμενον. ἀπὸ χρυσοῦ τοιγαροῦν καὶ κορέννυσο, ἵνα σοι καὶ ὑπὸ γαστέρα χρυσὸς θησαυρίζοιτο, καί σοι καὶ τὸ σῶμα εἴη ὅλον ἐπίχρυσον. εἰ δ' οὐδὲν ὁ χρυσὸς εἰς τὸ σῶμα σου χρήσιμον, ἀλλὰ θᾶττον ἀπὸ μόνου χρυσοῦ τις λιμώξεται, ἐς τί ἄρα σοι τὸ πολὺ τῆς σπουδῆς καταβάλλεται. ἤκουσε ταῦτα ὁ βασιλεύς. καὶ τὸ τῆς γυναικὸς σοφὸν μετὰ τοῦ δικαίου προσαιδεσθεὶς ἀνῆκε ταῖς πόλεσι μὲν τὸ πολὺ τοῦ φόρου, ἑαυτῷ δὲ τὸ ἐσάγαν χρυσομανές.

confers, exſatiare, vt tibi in ventre quoque aurum, tanquam in theſauro cõſeruetur, totumque tibi corpus aureũ fiat. Quod ſi nihil ad corporis bona aurum confert, ſed ſtatim ſolo auro fame quis enecabitur, ad quid tot tibi conatus fruſtra capiuntur? Audijt hæc Rex, & ſapientiam mulieris cum iuſtitia coniunctam reueritus, immani ciuitates tributo, ſeque inhiante auaritia liberauit.

Τὸ κατὰ τὸν Ὀδυσσέα δ'.

Εἶχεν Ἑλένην ἡ Τροία, καὶ ἡ Ἑλλὰς ἐκεκίνητο, καὶ Ὀδυσσεὺς εἰς ξυμμαχίαν καλούμενος μανίαν ἐπλάττετο. καί πο-

De Vlyſſe 4.

Helenam Troia poſſidebat, Græcia fluctuabat, vocatuſque in auxilium Vlyſſes furorem fingebat: & cùm aliquando equo vehi opus foret, bouem cum equo

τε δεῆζαν οὕτως ἱππάζεσθαι, βοῒ ἵππῳ συμπονεῖν ἐβιάζετο, καὶ πρὸς ἕνα ξυνῆγε ζυγὸν, ἃ μήτε φύσις συνῆψε, καὶ τέχνη διέστησε. καὶ δειλὸς εἶναι λαθεῖν πειρώμενος εἰς μανίαν ἐξέπιπτεν, ἀκουσίῳ δῆθεν κακῷ, κακίαν ἐπικρύπτων αὐθαίρετον. ὁρᾷ τὸ πλάσμα ὁ Παλαμήδης. εἰς νοῦν βάλλεται τὸ μηχάνημα, καὶ γνοὺς ὅ, τι καὶ βούλεται τὰ τοῦ δράματος, ἀντιμηχανᾶται σοφώτερον. ἁρπάζει τὸν παῖδα Τηλέμαχον, εἰς μέσον ἄγει τῆς ἱππηλασίας, καὶ δοκιμάζει τὸν πατέρα ἐλαύνοντα, ὡς εἰ τῷ παιδὶ πάντως ἐπαφήσει τὸ ἅρμα, οὐκ ἔστιν Ὀδυσσεὺς ἐκεῖνος καὶ μέμηνεν. εἰ δὲ γνωρίσει τὴν φύσιν, καὶ φείσεται τοῦ παιδὸς, ἔστιν ἄ-

equo in partem laboris aduocabat, & vni iugo, quæ neque natura coniunxerat, & ars diſtinxerat, ſubdebat: & timiditatem occultare intentans, in inſaniam incidebat, violento nempe malo, voluntariam tegens, abdenſque malitiam. Figmentum Palamedes conſpicit, menteque machinam volvit, reique geſtę ſcopum apprimè deprehedens, ſapientiori quodam conſilio Vlyſſi obluctatur. Raptum Vlyſſis filium Telemachū equitationis in medio collocat, Patremque ſtimulantem experitur: namque, ſi pater currum in filium compellet, omnino Vlyſſes inſanit: ſi verò naturæ neceſſitudine filio parcet,

ρα Ὀδυσσεὺς ἐκεῖνος ὁ δόλιος, καὶ τὸν εἰς Τροίαν ἀπόπλουν ὀκνεῖ, καὶ παραπαίειν ἐσχηματίζατο, καὶ δὴ ξύμμαχον ἐπαγόμενος τὸ φιλότεκνον, ἀναρριπίζει τὸ τῆς φύσεως πῦρ, ὑπεκκάει τὰ σπλάγχνα, πολιορκεῖ τὴν ψυχήν, καὶ τὸν νοῦν αὐτόμολον ὡς ἀπὸ τείχους ἐξάγει τοῦ πλάσματος. οὕτω Παλαμήδης Ὀδυσσέα κατεστρατήγησεν. οὕτω σοφῶς ἀργυρογνωμονήσας τὸν νοῦν ἐθηράσατο, καὶ καθαρὸν εἶναι μαθὼν ὡς ὑπὸ γνώμονι τῷ καιρῷ τούτῳ περὶ τοῖς λοιποῖς ἀρίστοις τῆς Ἑλλάδος ἐγκρίνει. οὐ γὰρ ἤρεσκε τὸ θέαμα Ὀδυσσεύς. ἀλλ᾽ ᾤκτειρε τὸν παῖδα, καὶ τὸν ἔλεγχον οὐ διέδρα, τὸ πατὴρ εἶναι τῶν ἐπὶ Τροίας πόνων ἀνταλλαξάμενος.

Vlyſſes ille eſt fraudulentus, quem ad Troiam nauigatio piget, & inſaniam ſimulat. Adeò filij amorem in auxilium aduocans, naturæ ignē excitat, ſuccendit viſcera, animum obſidet, mentemque profugam, tamquam à muro, è figmento educit. Hac ratione Palamedes Vlyſſem debellat, &, veluti lapis herculeus argentum, mentem examinans, callidè prehendit; & puram eſſe cognoſcens, vt ſub gnomone, eo tēpore reliquis Græciæ optimatibus adnexuit. Neque enim propriæ voluntati filij necem præpoſuit, ſed filium miſeratus comperitur; laboribus, qui apud Troiam ſuſtinendi erant, carius æſtimans ſe eſſe

pa-

καὶ ξυνεμάχει τοῖς Ἕλλησι τὸ λοιπὸ, καὶ ψυχῇ πολυμηχάνῳ τοῖς Τρωσὶν ἐπεβούλευε, καὶ κατὰ Παλαμήδους ἤσκει τὸν δόλον.

patrem. Et is in poſterum Græcis militabat, & animo multa tolerans, Troianis inſidiabatur, nectebatque contra Palamedem inſidias.

Τὸ κατὰ τὸν Δαίδαλον ε'.

De Dædalo 5.

ΔΑίδαλον σοφία μὲν, καὶ τέχνη περιεσώσατο. Μίνως δὲ, καὶ τὸ παθεῖν ἐλπὶς καὶ τῆς πατρίδος ἀπήλασαν. οἷς ἔρωτος ἄθεσμον ἐσοφίσατο ξύμπνοιαν. καὶ σοφὸς ὢν ἐρωτικὴν ἀποσβέσαι πυρὰν, βασιλέως θυμὸν ὑπανάψας, ἠγνόησεν. ἐπεὶ γὰρ Πασιφάη μὲν ἤρα παρανόμως, καὶ Δαίδαλος δὲ τὸν ἐπὶ Ταύρῳ Πασιφάης οἶστρον ἐπλήρωσε, πληροῦται Μίνως θυμοῦ, καὶ τῆς ἀνοίας μυσάττεται Δαίδα-

DÆdalum ſapientia ſeruauit, & ars; timor, ſpeſque futurę pœnę propter iniquũ cupidinis excogitatum auxilium, è patria expulerunt. doctuſque amatorias flammas extinguere, Regis iram ſeſe accẽdiſſe ignorauit. Cùm enim Paſiphaë amore infando, exlegeque corriperetur, & Dædalus Paſiphaës erga Taurum œſtrum cõpleſſet, Minos impletur iracundia, execraturque Dædali vecordiam. Pro his pœnas

λον. ὑφορᾶται τὴν δίκην ἐπὶ τούτοις ὁ Δαίδαλος, καὶ τρόπον φυγῆς ἐπινοεῖται παράδοξον. ὅλας ἀετῶν ἐπισωρεύσε πτέρυγας, καὶ κηρῷ τὰ πτίλα συνδήσας ταῖς χερσὶν ἐναρμόζεται. οὕτω καὶ τὸν παῖδα περιεργασάμενος Ἴκαρον τῆς Κρήτης ἀφίσταται. ἀλλὰ καὶ τῷ παιδὶ τὸν Μίνω ξυναποδρὰς, οὐχὶ καὶ τὴν δίκην ἀπέδρυσεν, ἀλλ' οἷς τὸν ἀπὸ γῆς ὑπερίστατο πόλεμον, ἄλλον τρόπον οὐρανόθεν αὖθις ἐβάλλετο. καὶ Μίνως μὲν οὐκ εἶχεν ὅπως ἀμύναιτο Δαίδαλον. Ἥλιος δὲ τοῖς πτεροῖς ἐπεβούλευε, καὶ ταῖς ἀκτῖσιν ὑπολυσάμενος τὸν κηρὸν, κατὰ πελάγους ἠφίει τὸν Ἴκαρον. καὶ δικαίως ἄρα Δαίδαλον εἰς παῖδα ἐζημίωσεν Ἥλιος, οἷς Ταύρῳ

ſibi Dædalus timet, & modum fugæ præter expectationem omnem comminiſcitur. Vniuerſas aquilarum pennas aggeſſit, ceraque colligatas brachijs adaptat. Eodem modo filio alas accomodans Creta auolat. Veruntamen, licet vnà cum filio Minoëm aufugiſſet, iuſtitiæ tamen pœnas non euitauit, ſed quibus terreſtre bellum euaſerat, iiſdem nouo quodam modo è Cœlo rurſus decutitur. Et cùm non ſuppeteret Minoi, quo Dædalum vlciſceretur, Sol pennis inſidians, radijſque ceram colliquans, Icarum in mare præcipitat. Iure itaque Sol Dædalũ filio multauit, quòd ille Tauro Solis filiam Paſiphaëm ſubmiſerit. Hinc

τὴν Ἡλίου παῖδα Πασιφάην ἐξεδέξατο. ἐντεῦθεν καὶ Δαίδαλος μὴ πάντῃ τέχνῃ θαῤῥεῖν ἐδιδάσκετο, καὶ Δαιδάλου παῖς Ἴκαρος μὴ πάνυ τι πιστεύειν Ἡλίῳ κηρὸν ἐπαιδεύετο.

Dædalus non omni arti fidendum eſſe edidicit, & Dædali filius Icarus, non nimis ceram Soli concredendam edoctus eſt probè.

Τὸ κατὰ Πασιφάην ϛ'.

Ἔρως καὶ Πασιφάην εἰς Ταῦρον οἰστρηλατεῖ. καὶ τὸν πόθον ἦν ἀγαγεῖν εἰς πέρας ἀμήχανον. ἄνθρωπος ἤρα βοὸς, καὶ γυναικὸς ἦν Ταῦρος ἐρώμενος. ἔρως ἀπανταχόθεν ἀνόμοιος. ἡ μὲν ἴσως που μαλακὴν ἠφίει φωνήν. ὁ δὲ οὐδὲν ἐπαΐων, ὡς Ταῦρος ὢν ἐμυκήσατο. λόγον ἀλογίᾳ ξυνιζέχειν τὸ πάθος ἠνάγκαζεν. καὶ γυναικὸς ὄψιν βοείᾳ μορφῇ συγκεραννύσθαι, καὶ Ταύρῳ τὴν ἄν-

De Paſiphaë 6.

CVpido Paſiphaëm quoque in Taurum concitat, cupidinique finem imponere haud facile poterat; Homo bouem deperibat, & mulieris erat Taurus amaſius. Amor quaquauerſum diſſimilis. Illa fortaſſe non vno in loco vocem mollem emiſerat, ille verba non capiens vt Taurus, fremitu mugienti retonuit, affectuſque rationem vnà ſimul ire cum feritate cogebat, vultumque mu-

Lie-

ϑρωπον ὑποζεύγνυσθαι. οὐκ εἶχε πείθειν οἷς θέλγουσιν ἄνθρωποι. ἂν ἐπαγωγόν τι προσεῖπεν, ὁ μὲν οὐκ ᾐσθάνετο. ἂν ἐρωτικὸν ἐμειδίασεν, οὐ φιλομειδὴς ὁ Ταῦρος ἐδείκνυτο. ἂν δῶρα πρὸς ἀφροδίτην προὔτεινεν, ἃ δῶρον τὴν ἀφροδίτην ἡ φύσις τὸν Ταῦρον ἐδίδαξεν. ἔρως ἐντεῦθεν τῇ κόρῃ συνηγωνίζετο, καὶ φύσις αὖθις ἐκεῖθεν ἀντέκρουε. παρεῖχεν ἔρως, ἃ μὴ φύσις ἐβούλετο. καὶ φύσις ἐπεῖχεν, ἃ παρέχειν ἔρως παρεβιάζετο. συνῆγεν ἔρως, ἃ φύσις μακροῖς ὅροις διέστησε, καὶ ἡ φύσις οὐκ ἐδίδου τὰ μὴ πεφυκότα συνάπτεσθαι. ἔζαινε τὴν Πασιφάην τὸ κάλλος, ἀλλ'

liebrem cum bouina forma commiſceri, Tauroque mulierem ſubigi, verbis hominum haud poterat ſuaderi. ſi quid ea blãdum allocuta fuiſſet, boui cor durum rigebat: ſi quid amatoriè riſiſſet, Taurus à riſu abhorrens conſpiciebatur: ſi muneribus ad venerem pellicere conaretur, venerem non donatam natura Taurum edocuit. Amor hinc vnà cum puella ſocius inſeruiebat, & natura rurſus inde depellebat. Amor, quæ natura nolebat, impartiebatur, & natura impediebat, quę conabatur Amor exhibere. Vnà ſimul Amor cogebat, quæ natura latè diffuſis terminis ſeparauerat, eaque denegabat, quæ coniungi naturà non poterant. Demulcebat Paſiphaëm forma, ſed Amor exterus contri-

ἐλύπει. τὸ τοῦ ἔρωτος ἔκφυλον. ὡς ἐπαφρόδιτον ἐρᾶν ἐγλίχετο, καὶ ὡς θῆρα θυμικὸν ὑπεβλέπετο. ηὔχετο καὶ βοῦς εἶναι δοκεῖν, ὡς ἂν τὸν Ταῦρον ὑπέλθῃ τῷ σχήματι, ἀλλὰ Θεοὶ μὲν οὐκ ἐπένευσαν, Δαίδαλος δὲ τοῦτο χαρίζεται. καὶ γίνεται σοφώτερος ἔρωτος, φιλανθρωπότερος φύσεως. χαλκὸν εἰς βοῦν σχηματίζει, καὶ μιμεῖται τοῦ Ταύρου τὴν θήλειαν, καὶ τὴν βοῦν ἔνδον ὑπογλυψάμενος ὑποβάλλει τὴν ἄνθρωπον. ἐφέλκεται τὸν Ταῦρον ἡ τέχνη, καὶ δελεάζει αὐτὸν τὸ πρὸς τὴν βοῦν ἐμφερὲς τοῦ χαλκοῦ, καὶ μυκησάμενος ἔρωτα τῆς Πασιφάης τὸν πόθον ἐπλήρωσε. καὶ τερασίου γάμου τέρας ἀποτίκτεται Μινώταυρος.

triſtabat. Tamquam venuſti, decorique amores illa appetebat, vt verò feram iræ obnoxiam refugiebat. Bouis ſibi formam deprecabatur, vt figura Taurum falleret. Quod Dij abnuerant, Dædalus indulget; fitque is amore ſapientior, natura humanior. Bouis is ænei figuram efformat, Taurique fæminam imitatur, intuſque bouem ſcalpro excauans, hominem ingerit. Pellicit Taurum ars, ſimiliſque boui imago allicit, & præ amore mugiens Paſiphaës deſideria explet, & portentoſi connubij portentum adnaſcitur Minotaurus.

De

Τὸ κατὰ τὸν Ἴκαρον ζ.

Ἐνόσει Πασιφάη παράλογον ἔρωτα, καὶ παστάδα παραλογωτέραν ἐπήξατο Δαίδαλος. ἐπὶ τούτοις ὀργίζεται Μίνως, καὶ ἀποδίδει τῆς Πασιφάης, καὶ Ταύρου νυμφοστόλον αἱρεῖν, ἀλλ' ἦν ἄρα ἐκεῖνος, καὶ πῦρ ἀφροδίσιον ἀποσβέσαι σοφὸς, καὶ βασιλέως ἀναφθέντα θυμὸν ἀποδράσαι σοφώτερος. οὐ γὰρ οὐκ εὐπόρει μηχανῆς καὶ πάλιν ὁ Δαίδαλος. ἀλλὰ κἀνταῦθα τέχνη τὴν φύσιν ὑπερεβάλλετο, καὶ ἃ φύσις οὐκ ἴσχυσε, Δαίδαλος ἐτεχνάζατο. καὶ τὴν φύσιν ἄνθρωπος ὤν, τὸν ὄρνιν ἐμηχανήσατο. ἐπτέρωσε τῇ σοφίᾳ καὶ τὸν παῖδα Ἴκαρον, ἵν' ὡς ἐκ μιᾶς μηχανῆς, καὶ ὁ πατὴρ εἴη μὴ ζη-

De Icaro 7.

Amoris, grauis, & præter rationem morbus Paſiphaën inuaſerat, Thalamumq; abſurdiorē compinxerat Dædalus. Propterea Minos iraſcitur, & Paſiphaës Taurique nuptiarum auſpicem conatur interimere. Verùm ille erat & ignem venereū extinguere ſciens, & accenſam Imperatoris iracūdiam deuitare ſcientiſſimus. Neque enim noua inuenta deerant Dædalo. Hinc & ars naturam ſuperauerat, &, quæ natura non valuit, Dædalus excogitauit: & cùm is natura homo eſſet, alitem induit. Alas quoque filio Icaro ſapientia indidit, vt tanquam ex vna machina, neque filio multaretur,

μισωθῇ, καὶ τὸ περιεῖναι κερδάνῃ. φιλόστοργον γὰρ ὁ πατὴρ, καὶ τὸ παράπαν ἀπολιπέσθαι τοῦ παιδὸς οὐκ ἀνέχεται. ἵπταντο μὲν οὖν ἄμφω, καὶ τὸν Μίνω συναπεδίδρασκον. ἀλλ' ὁ μὲν ἅτε σοφὸς, καὶ τὴν μηχανὴν εἰδὼς, ἐφ' ὅσον ἂν καὶ πτερύξαιτο, σύμμετρον τῷ σοφίσματι ποιεῖται τὴν πτῆσιν. ὁ δ' ὑπὲρ τὰ πτίλα, καὶ τὸν κηρὸν, καὶ τὴν τέχνην πτερύσσεται. καὶ περιφρονεῖ μὲν τὸν Ἥλιον, πιστεύει δὲ ταῖς ἀκτῖσι τὸν κηρὸν, καὶ τρυφᾶν ἐθέλει μᾶλλον, ἢ πρὸς ἀσφάλειαν ἵπτασθαι. τοιοῦτον γάρ τι χρῆμα νεότης, πρὸς ἡδονὰς ἀλόγιστα φέρεται, καὶ τῆς χρείας ἐκφέρεται. οὐ φέρει περιφρονούμενος Ἥλιος. ἐπιβάλλει τῷ κηρῷ τὰς

rētur, & vltra ſupereſſe queſtum faceret. Pater ſiquidem ad diligendum propenſus, nuſquam à filijs auelli ſuſtinet. Ambo itaque peruolabāt, vnàque ſimul Minoëm fugiebant. At hic quidem catus, ſcienſque probè, quantùm ſe remigio illo alarum ſuſtollere poſſet, volatum ad inuenti mēſuram accomodat: ille ſuper alas, ceramque, & artem volatum extendit; ſpernenſque Solem, radijs ceram concredit, & alis magis laſciuiens, minùs ſuę cauet ſecuritati: Nanque cōparata eſt ita iuuenum natura, vt præter rationem repat in voluptates, & non ſine iactura rei familiaris ducatur. Spretus Sol grauiter fert, radios ceræ applicat, veterato-

rem

ἀκτῖνας. ἀπηλέγχει τὸν σοφιστήν. λύει τὸ σόφισμα, καὶ ῥίπτει κατὰ πελάγους τὸν Ἴκαρον. καὶ τοῦτο μιμεῖται Δαίδαλον Ἥλιος. ἐκ τῆς Ἡλίου παιδὸς Πασιφάης Μινώταυρον ἐκαινοτόμησε Δαίδαλος, καὶ Ἥλιος ἐξ Ἰκάρου τοῦ Δαιδάλου παιδὸς Ἰκάριον πέλαγος ἀνθρώποις ἐγνώρισεν.

rem denudat, artificium diſſoluit, & in pelagus præcipitat Icarum. Atque in hoc Sol Dædalum imitatur: ex Solis filia Paſiphaë Minotaurum, Dædalus deſignat; & Sol ex Dędali filio Icaro Icarium pelagus inter homines nobilitat.

Ἅλωσις τῆς Τροίας η'.

Ὁ τὴν ἅλωσιν τῆς Τροίας ἐπιζητῶν, ὅθεν γέγονεν, ἀνιστορείτω μοι τῆς Ἑλένης τὴν ἁρπαγήν. διὰ ταύτην γὰρ τῶν ὅπλων παρασκευαί, στρατευμάτων συναγωγαί, νηῶν σύμπηξις, ἀχανοῦς πελάγους διαπεραίωσις, ἐν ἀλλοδαπῇ στρατοπέδευσις, ἐν βαρβαρικῇ κατασκήνωσις,

Troiæ Excidium 8.

QVi Troiani excidij cauſas anceps perquirit, is mihi in hiſtorijs commemoratum raptum Helenes recolat. ob eam quippe armorum officinæ, militum conſcriptiones, compactio nauium, immenſi pelagi enauigatio, metatio caſtrorum apud exteros, in terra barbara diuerſoria, aggerum excauatio-

nes,

τάφρων ὀρυγαὶ, σκολόπων παρορυγαὶ, ἐχθρῶν προσβολαὶ, ἑκατέρων μερῶν ἐξορμαὶ, ἀγωνιζομένων σφαγαὶ, αἱμάτων πηγαὶ, δακρύων ῥοαὶ, λειψάνων ταφαὶ, καταδρομαὶ πόλεων, χρημάτων ἁρπαγαὶ, δεσμωτῶν οἰμωγαί. ὡς δὲ τὸ φρούριον ἀπόρθητον ἦν, ἐπλάσαντο τὴν ἀπόζευξιν, καὶ Χερρόνησος εἶχε τοὺς Ἕλληνας. τεχνασάμενοι δ' ἵππον, ὑπογαστρίους ὁπλοφόρους ἄνδρας, καὶ χαλκάσπιδας φέροντα, ἔδοξαν τοῦτον καταλιπεῖν, ὡς τῆς φάτνης ἀποσκιρτήσαντα. ἄρτι δὲ τοῦ ἡλίου ὑπὲρ γῆν ἀνακύψαντος, τὸν ἵππον ἰδόντες οἱ Τρῶες, ὡς μὲν εὐμεγέθη, ὡς δὲ περικαλλῆ τε, καὶ πίονα, φριμασσόμενον, χρεμετίζοντα, τὼ πόδε προς

nes, palorũ circa foſſas munimina, hoſtiũ impetus, aduerſariarum partium inuaſiones, concertantium cædes, ſanguinis fontes, lacrymarũ fluenta, cadauerum ſepulturæ, vrbium depopulationes, rerum rapinæ, catenatorum eiulatus. Cùm Vrbs expugnari non poſſet, reditum ad ſuos commenti ſunt; & Cherſoneſus Græcos continebat; extructi verò equi ventèr armatos homines, ęreiſque ſcutis munitos geſtabat, quem ibi ac ſi è præſepi ſubſilijſſet reliquerunt. Cum primo ſolis lumine Troës equum intuiti, tamquam pręgrandē, perpulchrum, pinguemque, frementem, hinnientem, pedes attollentem, rurſumque

ὕψος ἐπαίροντα, καὶ περικυρτοῦντα πάλιν ὥσπερ ἐξ ἁρμογῆς, γαῦρον, καὶ ἀτιθάσσευτον, τῶν τῆς πόλεως περιβόλων ἔνδον εἰσήγαγον, περὶ δὲ νύκτα μέσην οἱ ἐνεδρεύοντες ἐξορμήσαντες κατέσχον τὴν πόλιν, καὶ τοὺς μὲν ἀνεῖλον, τοῖς δὲ δεσμοὺς περιέθεντο, καὶ πυρὶ καὶ σιδήρῳ τὰς οἰκίας εἰργάσαντο.

veluti ex concentu curuantem, alacrem, impigrum, aſperum, atque intractabilem intra Ciuitatis vallos cônducunt. Nocte media, qui in eo latuerant, exilientes vrbem capiunt, homines partim trucidant, partim alligatos conuehunt; & ignibus, ac ferro vaſtitatem ædibus inferunt.

Τὸ κατὰ τὸν Θάμυριν θ'.

De Thamyri 9.

ΘΑ'μυρις καλὸς μὲν ἦν καὶ τὴν ὄψιν, σοφὸς δὲ καὶ τὰ μουσικά. κάλλος μὲν οὖν εἶχε, καὶ πρὸς λύραν ᾄδειν ἠπίστατο, σωφρονεῖν δὲ ἄρα πρὸς Θεοὺς οὐκ ἐγίνωσκεν. ᾀδούσας βλέπει τὰς Μούσας, καὶ τὸ ἔμμουσον εἰς ἀσέβειαν προσ-

THamyris aſpectu quidem decorus erat, & in rebus muſicis pertractãdis haud ignarus: pulchritudinem itaque poſſidebat, lyramque tangendi peritus, erga Deos non deſipere ignorabat. canentes Muſas intuitus, cantus leporem, & gratiam in impietatem tranſ-

βάλλεται, καὶ ὕβριν μουσῶν. προσκαλεῖται καὶ πρὸς ἀγῶνα τὰς θεάς. καὶ, Ὦ Μοῦσαι, φησὶν, οὐκ ἄρα Διὸς θυγατέρες ὑμεῖς, οὐδὲ τὴν μουσικὴν Ἀπόλλων ὑμᾶς ἐδιδάξατο, ὅτι μηδὲν μελιχρὸν ὑπηχεῖτε τοῖς ᾄσμασιν. ὡς ἔτι ἐγωγε θνητὸς μὲν εἰμὶ. νικῶ δὲ καὶ τὰς Μούσας ὑμᾶς, καὶ οὔτε μοι Ζεὺς πατὴρ, οὐδὲ μουσικῆς Ἀπόλλων διδάσκαλος. καὶ, εἰ βούλεσθε, ἀγωνιζώμεθα. μόνον ἆθλον ἔστω μοι τῆς νίκης, τὸ βούλημα. ἔστω καὶ ὑμῖν ἆθλον, ὅ, τι καὶ βούλεσθε. καὶ νικῶσαι μὴ φείδεσθε τοῦ Θαμύριδος. ἀλγοῦσιν ἐπὶ τούτοις αἱ Μοῦσαι, καὶ τὴν πρόκλησιν δέχονται. καὶ λοιπὸν περὶ μουσικῆς ἔρις τῶν Μουσῶν, καὶ Θαμύριδος. μεταχειρίζεται τὴν κιθάραν ὁ

transfert, & probrum Muſarũ; quas ad certamen temerè prouocat. Et, ô Muſæ, inquit, vos Iouis filię nõ eſtis, nec Muſicã vos Apollo edocuit, cùm nec in cãtionibus veſtris dulce quid, quẽmadmodum ego, perſonetis. Mortalis equidem sũ, vos verò Muſas ſupero, licet mihi Iuppiter pater non ſit, nec Muſices Apollo præceptor. Et, ſi lubet, in certamen deſcendamus: palma ea certaminis ſit, voluntas. vobis item palmarium eſto, quod lubet: victoriaque potitæ, ne parcite perdere Thamyridem. Indolent de his Muſę, nec prouocatæ, recuſant. Et iam de Muſica Muſis, atque Thamyridi certamen eſt. Pertractat citharam

Θάμυρις. καὶ μέλος ᾄδει τερπνὸν μὲν, καὶ οἷον ᾄδουσιν ἄνθρωποι. παύεται τῆς ἀγωνίας. καὶ τὴν νικῆσαι ἤδη θαῤῥεῖ. καὶ τὸ ἐντεῦθεν ὁ λοιπὸς ἀγὼν ἦν τῶν Μουσῶν. αἱ δὲ ᾄδουσιν, οἷον νικῆσαι μὲν Θάμυριν. ἐμφῆναι δὲ, ὡς μουσικῆς αὐταῖς Ἀπόλλων διδάσκαλος. κἀντεῦθεν ἐδυστύχησε Θάμυρις, καὶ μουσικῆς ἀποβολὴν, καὶ στέρησιν ὄψεως.

Thamyris, meloſque concinit ſuaue; at quale nobis homines tinniunt: finit cantionẽ, palmamq; ambit, eamque iam tenere præſumit. Hinc poſtmodum Muſarū certamen incipit; cantantque illę carmen modulatè, quale poterat deuincere Thamyrim, palamq; reliquis facere, nõ alium, quàm ipſum Apollinem Muſices ijſdem magiſtrum fuiſſe. Quare & muſices iactura, & oculorum interitu, magnum ſibi Thamyris infortunium comparauit.

Τὸ κατὰ τὴν Δανάην ι'.

De Danaë 10.

Οὐδὲν ἄρα πατρὸς προμηθέστερον. ἀλλ' οὐδ' εἰς ἐπιβουλὴν σοφώτερον ἔρωτος. ἤθελε τὴν παῖδα Δανάην παρθε-

Nihil eſt planè prouidentius Patre, ſed neque ad inſidias parandas Amore ſolertius. vt caſto corpore integra ſeruaretur filia, Acriſius planè procurabat, cernensq;

νεύειν Ἀκρίσιος. καὶ μέγαν οὕτω λιμένα κάλλους ὁρῶν, ἐδεδίει τοὺς λάθρα τὸ τῆς παρθενίας αἴθος ἀποσυλήσοντας. καὶ δὴ πρὸς φυλακὴν ἐπινοεῖται θριγγίον ἄλλο καινότερον, θάλαμον χάλκεον, ἀτειρές τι χρῆμα, τεῖχος ἀνάλωτον, αἰδεράσιν ἄβατον, ἀνεπιβούλευτον ἔρωτι. ἀλλ' ὁρᾷ καὶ κρυπτομένην τὴν κόρην ὁ πάντα ἐφορῶν Ζεύς. καὶ δεινὸν ἡγεῖται τοσοῦτον κάλλος ἐγκατορωρυγμένον τῷ χαλκῷ λανθάνειν, ὡς θησαυρὸν ὑπὸ γῆν, ὡς ἐν νυκτὶ σελήνην, ὡς ἐν κάλυκι ῥόδον, ὡς ἐν κόχλῳ πορφύραν, ὡς ἐν ὀστρέῳ μάργαρον. δίεισιν οὖν ἐπὶ τούτοις τὸν θάλαμον, καὶ περισκοπεῖται τὸν

nenſq; ingentem formę amœnitatem, doteſq; eximias, ac luculentas, ne quis illi virginitatis florem prædaretur, cauebat, quare præ cuſtodia, ſepem illi aliam, vallumq; ingenioſius cõminiſcitur, thalamum æreum, rem aſperã, duramque, murum non exuperabilem, hominibus imperuiũ, Cupidinis haud patentẽ inſidijs. Sepultã nihilominùs Puellam, qui omnia videt, Iuppiter conſpicit, indignumque iudicat tãtam pulchritudinẽ ære defoſſam, veluti ſub terra theſaurum, in nocte Lunam, in caliculis roſam, in conchyli purpuram, in concha margaritam deliteſcere: quare propiùs ad thalamum procedit, tectumque accuratiùs ſpeculatur, & cùm

ὄροφον, καὶ χαλκὸν ἔχων πολέμιον, εἰς χρυσὸν μετασχηματίζεται. ἵν᾽ εἴη καὶ χαλκοῦ κρείττων χρυσὸς, καὶ Θεὸς ἀνθρώπου σοφώτερος. καὶ χρυσῆ τὸ κάλλος παρθένῳ, χρυσὸς ἐραστὴς γένοιτο. ἐγκολπίζεται τὸν Θεὸν ὡς χρυσὸν ἡ παρθένος ἐξ ὀρόφου ῥυέντα. καὶ τὸ ἐντεῦθεν δρέπεται μὲν τῆς ὥρας εἰς κόρον ὁ Ζεύς. καὶ Δανάη δὲ δῶρον τοῦ χρυσοῦ, καὶ τοῦ γάμου Περσέα κομίζεται.

æs aduerſaretur, immutatur ipſe in aurum, vt potius ære aurum foret, Deusq; homine ſapientior, aureaque forma virgini amator accederet aureus. Sinu accipit Deum profluẽtem, vt aurum è tecto Virgo. Poſtmodum Iuppiter ad ſaturitatem formã decerpit, Danaë pro munere auri nuptiarumque, grauida facta Perſea ſuſtulit.

Τὸ καθ᾽ Ἡρακλέα ια΄.

ΚΑὶ πρὸς Ὕδραν ἀγωνιούμενος Ἡρακλῆς ὑπ᾽ Εὐρυσθέως ἐστέλλετο. ὁ δὲ ἅμα τε ἧκεν ἐπὶ τὴν θρεψαμένην τὸ θηρίον τοῦτο πηγὴν, καὶ τὸ ξίφος, ἐκβαλὼν ἔργου εἴχετο. ἀλλ᾽ ἦν ἀνίκητον τὸ κα-

De Hercule II.

AD perdẽdam quoque Hydram nouo certamine Hercules ab Euryſtheo mittebatur. Ille ad nutritorem belluæ fontem propinquè accedens, arrepto enſe rem tranſigebat. Ve-

run-

κὸν, καὶ ὁ ἆθλος ἀτέλεστος ἡ μὲν τῶν κεφαλῶν ἐξετέμνετο. ἡ δ' ἀνεφύετο. ἡ μὲν ὑπὸ τοῦ ξίφους ἔπιπτεν. ἡ δ' ὑπὸ τῆς τομῆς ἀνεδίδοτο. ἔμενε τὸ θηρίον καὶ πρὸ τῆς τομῆς, καὶ μετὰ τὴν τομὴν πολυκέφαλον. μίαν ἀφῃρεῖτο κεφαλὴν, καὶ πλείους ἐλάμβανε, καὶ μιᾶς κεφαλῆς ἐκτομὴ πολλῶν ἐγένετο γένεσις. ὁ μὲν ἐξεθέριζε τὸ φυόμενον, αἱ δ' οὐκ ἔληγον ἐκτεμνόμεναι. ὅλον κεφαλῶν ἀνεφύετο λήϊον, τοσούτῳ δὲ μᾶλλον εἰς τομὴν ἀπορώτερον, ὅσῳ μᾶλλον ἐτέμνετο. ἐπὶ τούτοις διαπορεῖται μὲν Ἡρακλῆς, προσκαλεῖται δὲ σύμμαχον ἑαυτῷ τὸν Ἰόλεων. τῷ δὲ ξίφει τὸ πῦρ. καὶ ὁ μὲν τὸ ξίφος ἐπέβαλλεν. ὁ δὲ ἐπετίθει τὸ πῦρ, οὔτε

runtamen, neque ſuperari malum, neque certamem in finem adduci poterat: vnũ è capitibus abſcidi, aliud emergere; hoc ſub enſe cadere, aliud è cæſura renaſci; ante, & poſt amputationem bellua adhuc multiceps perſtare: vno imminuta capite, multò plura accipiebat, vniuſque capitis ſectio, multorum erat procreatio: ille, quod renaſcebatur, metebat; capita, demeſſa licet, nullum finem habebãt. integri feracis inſtar cãpi multitudo capitum pullulabat; quò magis ſecaretur, eò ad demetendum difficilior. Hæret portento Hercules, ſibique in auxilium Iolaum, enſique ignem aduocat. Sicque ille

τὸ ξίφος εἴα μένειν τῶν κεφαλῶν τὸ φαινόμενον, οὔθ᾽ ὁ καυτὴρ ἀναδίδοσθαι τὸ φυόμενον. καὶ τὸ ἐντεῦθεν ὁ ἆθλος λύεται.

enſe ferire, hic ignem apponere: enſis, quod eminebat capitum, vt ſtaret, minimè permittere; cauterium, quod emergebat, progredi haud ſinere. Et hac ratione certamini finis impoſitus eſt.

Τὸ κατὰ τὴν Πλάτανον ιβ´.

De Platano 12.

Ἡ Πλάτανος καλὴ μὲν ἦν, ὡς κόρη, μεγάλη δὲ, ὡς Ἀλωέως θυγάτηρ, καὶ τὸ μέγεθος τῶν ἀδελφῶν οὐκ ἐλείπετο. ἐπεὶ δ᾽ ἐκείνους κεραυνῷ βαλὼν ὁ Ζεὺς ἔπαυσε κατὰ τῶν Θεῶν μαινομένους, οὐ φέρει τὴν συμφορὰν ἡ κόρη, καὶ τὴν φύσιν εἰς φυτὸν ἠλλάξατο. ἀλλ᾽ ἔτι καὶ τὸ κάλλος περισώζει, καὶ τὸ μέγεθος οὐκ ἀφῄρηται. τοῦτο τὸ φυτὸν καὶ ὁ Ξέρξης ποτὲ

PLatanus decora quidem facie erat, vt puella, vt Aloëi filia, procera, & magnitudine fratribus non diſſimilis. Cùm verò Iuppiter, fulmine icens, eorum in Deos inſaniam deleuit, infortuniũ Puella grauiter ferens, naturam in plantam immutauit. quæ etiamnum, & decorem conſeruat, & magnitudine præſtat. Plantæ huius Xerxes etiam aliquando amœnum, vberrimumque ingenium admiratus eſt;

ad-

τῆς εὐφυΐας ἠγάσθη, καὶ τὸ θαῦμα ἐκεῖνος ἐδήλου, χρυσῆν φιλοτεχνήσας Πλάτανον.

admirationisq; indicio eſt, Platanus ab eo aurea artificioſè exſtructa.

Τὸ κατὰ τοὺς Ἀλωάδας ιγ'.

Ὦτον, καὶ Ἐφιάλτην Ἀλωεὺς παῖδας ηὐτύχησε, τὴν ἰσχὺν ὑπερφυεῖς, τὴν ἡλικίαν ὑπερνεφεῖς. ἀλλ' ἐκεῖνοι καὶ μείζω τῆς φύσεως φρονεῖν οὐκ ἠσχύνοντο. μικρὸν ἡγοῦντο κρατεῖν ἀνθρώπων, καὶ τηλικούτων σωμάτων ἀνάξιον. ἐπὶ τοὺς Θεοὺς τὴν τόλμαν μετάγουσιν. ἐπὶ τὸν οὐρανὸν ἀποχρῶνται τῇ ῥώμῃ, καὶ τῷ μεγέθει. ἤδη κινοῦσι τὰ ἀκίνητα. ὅλα ὄρη ὄρεσιν ἐπεγείρουσιν, καὶ τὴν εἰς Θεοὺς πολιορκίαν ἐπισκευάζονται. ἀλλὰ κινεῖ

De Aloidis 13.

O Tum, atq; Ephialtem fortuna obſecundante Aloeus filios habuit, robore prægrandes, mole tantùm non ad nubila pertingentes. Verùm illi ſupra naturam cogitationibus inflari non verebantur: puſillum ijs æſtimabatur ſupra homines eſſe, & tanta corporum vaſtitate indignum. Hinc ad Deos audaciam transferũt in Cælum robore, ſuaque immenſitate abutuntur. Et iam, quæ moueri non poterant, mouent: montes integros ſuper montibus exaggerant, Dijsque obſidendis operam nauant.

κινεῖ τοὺς πρηστῆρας ὁ Ζεύς. καὶ θνητὴν λαχόντες φύσιν, μηκέτι κατεπαίρεσθαι τῶν Θεῶν ἐπαιδεύοντο. ζηλοῖ τὸν ἀδελφὸν Δία καὶ Πλούτων, καὶ γενομένους ἐν ᾅδου κολάζει. μεγάλους γῦπας μεγάλοις σώμασιν ἐπιστήσας. οἳ καὶ τὰ τούτων σπλάγχνα πλέον τοῖς ῥάμφεσιν ὑπορύττουσιν, ἤπερ ἐκεῖνοι πάλαι τὴν Ὄσσαν. τοσοῦτον Ἀλωεῖδαι σωμάτων ἀλόγου μεγέθους ἀπώναντο, ὅσον ἐπὶ γῆς μὲν πολλὴ γενέσθαι σποδὸς, ὑπὸ γῆν δὲ μεγάλη τράπεζα κεῖσθαι τοῖς τοῦ Πλούτωνος δαιτυμόσιν.

uant. Sed preſteras Iuppiter excutit, & mortali natura conflatos, erga Deos non inſoleſcere edocuit. Fratrem Iouem Pluto quoq; æmulatur, & ad inferos cõdemnatos punit, ingentes vultures ingentibus corporibus adaptãs, qui eorum viſcera roſtris penitiùs effodiunt, quàm illi quõdam Oſſam. Tantum Aloidis ex inſana corporum magnitudine commodi cecidit, vt multus ex ijs ſuper terrã cinis ſpargeretur, ſubtus verò ingens menſa Plutonis apponeretur conuiuatoribus.

Τὸ κατὰ τὸν Νάρκισσον ιδ'.

Νάρκισσος, ὁ νῦν διαπρέπων ἐν ἄνθεσιν, ἐν μειρακίοις πά-

De Narciſſo 14.

NArciſſus, qui nunc inter flores præſtat, inter pueros quõdam

λαι διέλαμπεν. ὡραν-
θὴς μὲν τὸν τοῦ προσώ-
που λειμῶνα, καλὸς τὴν
μορφὴν, ἄμαχος τὴν θέαν,
τὸ κάλλος ἀνίκητος. ἐ-
φείλκετο καὶ τοὺς τῶν ἄλ-
λων ὀφθαλμούς. ἀλλ'
εἶχεν αὐτὸς ἕτερον ἔρωτα,
κύνας ἐπισύρεσθαι, καὶ
πρὸς θήρας ἱππάζεσθαι,
καί ποτε πολλοὺς τοὺς ἐκ
τῆς θήρας ἀποστάζων
ἱδρῶτας, παρίσταταί τι-
να πηγὴν, διαφανῆ μὲν
ἰδεῖν, ποτιμωτάτην δὲ
πιεῖν. ἡ δὲ τὴν μὲν τῆς
δίψης φλόγα μαραίνει
τῷ μειρακίῳ, ἕτερον δὲ
πῦρ ἀνάπτει τὸν ἔρωτα.
καὶ διψῶντα μὲν ὕδα-
τος, παύει, κάλλους δὲ
διψᾶν αὖθις βιάζεται.
γίνεται τῆς ὥρας κάτοπ-
τρον. ὡς ἐν πίνακι τῷ
ῥεύματι γράφει τὸν Νάρ-
κισσον. καὶ τοῖς αὐτοῦ κάλ-
λεσι βάλλεται Νάρκισσος.

dam reſpléduit, vultu
amœno efflorebat, de-
corus ſpecie, aſpectu
inſuperabilis, formo-
ſitate inuictus: aliorū
oculos ad ſe trahens,
alio tenebatur amo-
re; canes conducere,
eques ad venatū pro-
cedere, &, cùm ali-
quando ex venatu ſu-
dore totus maderet,
ad fontem viſu pellu-
cidum, potuque ſua-
uiſſimum adſtat, qui
ſitis quidem flammas
adoleſcentulo extin-
guit, ſed alium ignem,
amorem nempe, ſuc-
cendit, liberatq; eum
ardenti aquæ ſiti, in
quem decoris ſitim
etiam per vim indu-
xerat: fitque ſpeciei
ſpeculum in fluento,
veluti in tabella Nar-
ciſsū expingens. Hinc
à ſe ipſe ibidem for-
ma Narciſſus concutitur; & quidquid in
alios

καὶ ἃ πολλοὺς πρότερον ἔδρασε, τοῦτο τηνικαῦτα παθὼν αὐτὸς ἔλαθε. Νάρκισσος ἐκ πηγῆς τὸ κάλλος ἀνέβλυζε, καὶ Νάρκισσος διψῶν οὐκ ἐμπίπλαται. Νάρκισσος ὑπερίσταται τῶν ναμάτων, καὶ Νάρκισσος ἕτερος ὑπὸ τὴν πηγὴν διεφαίνετο· ἐμειδία Νάρκισσος ἄνωθεν, καὶ κάτωθεν αὖθις ἀντεμειδία τὸ κάλλος. ταῦτα ἦν ἀμφοῖν πάντα ὡς ἐν κατόπτρῳ διαφανῆ τῇ πηγῇ. ἀλλ' εἶχε τι καὶ θαύματος, οἷς διήλλαττε τὸ φαινόμενον. ὀφθαλμοὶ πρὸς τὴν ὄψιν ἐπεπήγεσαν, καὶ τὰ κάλλος ἐναπέσταζε τῇ πηγῇ. ἡ τῶν ὑδάτων φύσις θᾶττον ἀπέῤῥει, καὶ τὸ ῥεῦσαν ἐκ τῶν ὀφθαλμῶν ἐν οὐκ εἰδόσι μένειν ἐπεπήγει τοῖς ὕδασιν. ἐντεῦθεν ὁ

alios ille antea patrarat, hoc tum neſcius ſubit, & patitur. Narciſſus ex fonte formam hauriebat; ſitienſque Narciſſus aquis non expletur. Narciſſus vndis ſuperſtabat, & Narciſſus ſub fonte alius ſpectabatur; deſuper ridebat Narciſſus, infraque rurſum pulchritudo riſum reddebat. Hæc vtriſque omnia tamquam in ſpeculo in fonte elucebant: admirationem nihilominùs ciebat apparentis diuerſitas, oculi in aſpectum fixi, formoſitatem fonti inſtillabant. Aquæ dicto citiùs profluebant, ſed quod ex oculis effluxerat, vndis loco ſtare neſcientibus fixum permanebat. Proptereaque amor ardentiùs

ἔρως θερμότερον ἐπέζεσεν τῷ Ναρκίσσῳ. ὁ δὲ μὴ φέρων τὸ πῦρ, ἐπαφῆκεν ἑαυτὸν τοῖς ῥεύμασιν, ὡς ἂν καὶ τὸν δοκοῦντα περιπτύξαιτο Νάρκισσον, καὶ τὴν ἔρωτος πυρκαϊὰν ἀποσβέσειεν. ἀλλ' ἡ τῶν ὑδάτων φύσις αὐτῷ κάλλει τὸν ἔρωτα ξυναπέσβεσε, τῷ ζῶντι Ναρκίσσῳ καὶ τὸν δοκοῦντα συναποκρύψασα. οὐ μιμεῖται τὴν πηγὴν ἡ γῆ, ἀλλ' οἰκτείρει τὴν συμφορὰν, καὶ σοφίζεται τὴν μνήμην τοῦ πάθους, καὶ τοῦ καλοῦ μειρακίου καλὸν ἄνθος ἀντιχαρίζεται Ναρκίσσῳ, καὶ ἔρωτι. οὕτω καὶ μετὰ τὴν τελευτὴν περίεστι Νάρκισσος, καὶ αὖθις οὐδὲν ἧττον ἢ πρότερον εἰς κάλλος ἀνθεῖ.

tiùs Narciſſum inuaſerat: ille, ignis impatiens, in vndas ſe præcipitat, vt & viſum amplecteretur Narciſſum, & diras cupidinis flãmas extingueret. Vndæ vnà cum forma amorem extinxerunt, ſimul cum viuente Narciſſo effictum occultantes. Non æmulatur fontem terra, ſed infortunium miſerata, memoriam rei quàm longiſſimam molitur, & pulchri adoleſcentuli pulchrum florẽ, Narciſſo, atq; Amori gratiam repoſuit. Sic & poſt obitum ſuperſtes eſt Narciſſus, rurſumque, non minùs quàm antea, pulchritudine floret.

Δέος εἶχε ποτὲ καὶ τὴν Τροίαν περιζεῖν, καὶ Πρίαμος τὴν ἅλωσιν ἐμαντεύετο, καὶ τὴν συμφορὰν ἐπιγνοὺς προνοεῖται τοῦ γένους, προμυθεῖται τῆς πόλεως, σωτηρίαν παιδὸς, καὶ χρυσοῦ φυλακὴν, καὶ φιλίαν Θρακὸς πρὸς τὴν τύχην ὥσπερ ἀντισοφίζεται. ὁρᾷ τὸν τῶν παίδων χορόν. καὶ τῶν μὲν τὴν ἀκμὴν τοῖς Ἕλλησιν ἀνθιστᾷ, καὶ πρὸς τὴν παροῦσαν τύχην μερίζεται. Πολυδώρου δὲ τὸ τῆς ἡλικίας ἀπόμαχον ἀποσπᾷ μὲν τοῦ πολέμου, ἐγχειρίζει δὲ Πολυμήστορι, καὶ πρὸς τὴν ἐπιοῦσαν τύχην παῖδας, καὶ χρυσὸν ταμιεύεται. ἵν' ἐσύστερον καὶ Ἴλιος ἔχῃ τὸν ἀνορθώσοντα, καὶ

Excindendam quãdoque Troiam timor inuaſerat, excidiumq; Priamus præſagiebat, calamitateque cognita generi cauet, Vrbi prouidet. Salutem filij, & cuſtodiam auri, & Thracis amicitiam contra fortunæ tela prudens opponit. Chorum filiorũ examinat, & quibus vis inerat, & robur, ad Græcos oppugnandos armat, & ad fluctuantem iam rerum ſtatum diuidit. Polydorum tenella ętas, & pugnæ ineundæ incommoda à bello abripit, quem Polymeſtori, ad futuros rerum euentus, filium, aurumque reſeruãs, tradit; vt poſtmodum Ilium haberet inſtauratorem, re-

liquiæq;

τὸ λοιπὸν τοῦ γένους τὸν ζωπυρήσοντα. δέχεται τὸν παῖδα ὁ Θρᾷξ. ὑποδέχεται καὶ τὸν χρυσὸν, καὶ τὸ τῆς μάχης ἀστάθμητον ὑφορώμενος ἀπέχει τέως τῆς γνώμης τὸ βάρβαρον. ὑποκρύπτεται τὸ φιλόχρυσον. σχηματίζεται τὸ φιλόφιλον. τοιοῦτον γάρ τοι χρῆμα βάρβαρος, καὶ τὴν δειλίαν οἰκονομῶν, ἔνθα περιφόβηται, καὶ τὸν φίλον πλαττόμενος, ἔνθα τὸ φανερῶς λυπεῖν οὐκ ηὐπόρησεν. ὡς γοῦν ἡ τύχη μετὰ καὶ τῶν Ἑλλήνων τοῦ Πριάμου ἐπέθετο, καὶ ὁ Πολυμήστωρ αὐτοῦ ξυνεπιτίθεται. καὶ κτείνει μὲν τὸν Πολύδωρον, καὶ τὸ σῶμα νεκρὸν ἐπαφῆκε πελάγιον. περισφαιρεῖται δὲ τὸν χρυσὸν, καὶ παρανομεῖ τῆς φιλίας τριπλάσια, μήτε προξέν-

liquiæq; generis præſidium. Excipit puerum Thrax, vnàque cum puero aurum, bellique euentus varios animo verſans, ſententiam interim retardat, occultat auaritiam, amicitiam ſimulat. Sic enim nati ſunt barbari; vbi metus adeſt, ſe metui aptant; amicumque fingunt, vbi palàm nocere facultatē non habent. Vt verò fortuna ſimul cum Græcis Priamum præcipitem egiſſet, Polymeſtor quoque concurſu calamitatū affectum, malis opprimit; & primùm quidem Polydorum trucidat, eiusq; cadauer pelago commendat; poſtmodum aurum vſurpat, & triplici modo in amicitiam iniurius delinquit, neque

τα τὸν παῖδα οἰκτείρας, καὶ μετὰ τὴν τελευτὴν οὐ φεισάμενος, καὶ χρυσοῦ μελετήσας ἀφαίρεσιν, οὗ τὴν φυλακὴν ἐπιστεύετο. ἀλλ᾽ ὅθεν ἠδίκει τὸν Φίλιον, ἐκεῖθεν αὖθις τὴν δίκην ἀπέτισε. χρυσὸς ἐκεῖνον ἀδικεῖν ἐδελέασε, χρυσὸς καὶ πάλιν εἰς τὸ παθεῖν ὑπηγάγετο. ἔγνω τὸν τοῦ Θρακὸς δόλον ἡ μήτηρ. ἐπέγνω τὸν τοῦ παιδὸς φόνον, καὶ μηχανᾶται τὴν ἄμυναν. χρυσὸν καὶ πάλιν προβάλλεται. καὶ πιστεύει δῆθεν, ᾧ πάλαι καὶ χρυσὸν, καὶ παῖδα ἐπίστευσεν. πείθεται τούτοις ὁ Θρᾷξ. οὐχ ὑποπτεύει τὴν ἐπιβουλήν. θαρρεῖ τὴν Ἑκάβην. εἴσεισι τὴν σκηνὴν, καὶ θήραμα γίνεται γυναι-

que ſuperſtitis pueri commiſeratus; neque patrata nece, ab iniuria ferenda cadaueri abſtinens; & auri, cuius cuſtodiam in ſe receperat, occupationem meditatus. Veruntamen in quibus ille Iouis hoſpitalis iura violauerat, in ijſdem pœnas perſoluit. Aurum illum ad iniuriam inferendam pellexit, aurum quoque ſubtraxit ad pœnas. Mater dolum Thracis agnouerat, filijque cædem acceperat, & meditatur vindictam. Rurſum proponit aurũ, & fidei ſcilicet illius committit, cui iam antea & aurum, & filium commiſerat. Thrax verbis huiuſcemodi fretus, fraudem non ſuſpicatur, & fidei Hecubæ ſe concredens, introit tabernaculum, & pecunia-

κῶν, καὶ χρημάτων ἐλ-
πίσιν ἁλώσιμος. οἷς μὲν
γὰρ ἀδίκοις ὀφθαλμοῖς
εἶδε χρυσὸν, τούτοις δι-
καίως τοὺς ὀφθαλμοὺς αὐ-
τὸς ἐξορύττεται. οἷς δὲ
τοῦ παιδὸς ἀπανθρώ-
πως Ἑκάβην ἐστέρησε,
τούτοις εἰκότως καὶ παί-
δων πρὸς Ἑκάβης αὐτὸς
ἀπεστέρηται.

cuniarum potiundi
ſpe inflammatus, in
poteſtatem mulierũ
venit. Adeòque qui-
bus iniuſtè aurũ ocu-
lis conſpexerat, iuſtè
ſpoliatur: & quibus
ipſe Hecubam con-
tra ius, faſq; priuaue-
rat, iiſdem nec imme-
ritò vnà cũ filijs ipſe
ab Hecuba priuatur.

ETHO-

Τίνας ἂν εἴποι λόγους ὁ Ἰωσὴφ ὑπὸ τῆς Αἰγυπτίας γυναικὸς κατηγορηθεὶς, καὶ εἰς εἱρκτὴν ἐμβληθείς. α΄.

ΩΣ ἐπὶ δυστυχίᾳ γεγένημαι. καὶ μηδὲν ἀδικῶν, δοῦλος γίνομαι, καὶ σωφρονῶν παρὰ τούτῳ κολάζομαι. ἐπ' ἐμοὶ καὶ χορὸς ἀδελφῶν τὴν φύσιν ἐψεύσατο. καὶ δεσπότις γυνὴ τὰ σωφρόνων γυναικῶν οὐκ ἐτήρησεν. καὶ φθόνος με καθεῖλεν ἀδελφῶν τὰ πρῶτα, καὶ νῦν αὖθις ἔρως κατεστρατήγησεν. ἀπόλωλα καὶ φόνῳ, καὶ ἔρωτι. ὦ δυστυχὴς ἐγὼ, καὶ μισούμενος, καὶ φιλούμενος. ἦν μοι πατὴρ

Quoſnam ſermones habuiſſe putetur Ioſeph, ab Aegyptia muliere accuſatus, traditusq; carceri. I.

QVantum ſuſtineo malorum! an non ad infortunia natus ſum? miſer. qui licet nulli iniuriã intulerim, ſeruitute tamen premor, & caſtimoniæ addictus, ob hanc eandẽ, quam exoſculor, punior. erga me & fratrum cœtus ſanguinem ementitus eſt, & mulier Domina caſtarum mulierum iura violauit. Inuidia fratrum antea me de dignitate diſiecit, & nunc rurſum amor debellat. & cæde, & amore occidi. me miſerum! ſiue odio, ſiue amori obnoxius ſum. Erat mihi pater

εὐδαίμων, καὶ πλῆθος ἀδελφῶν, καὶ πάντα λαμπρά. ἐμοὶ παρὰ τοὺς ἄλλους προσεῖχε τὸν νοῦν ὁ πατήρ. ἐμοὶ καὶ τὰς χρηστοτέρας τῶν ἐλπίδων ἐσάλευεν. ἐπὶ τούτοις μέγας ἐγὼ τὰ ἐνύπνια. καὶ γίνομαι λαμπρὸς ὄναρ, ὃν ὕπαρ εἰς δουλείαν φθόνος κατήνεγκε. ἔχαιρον ὑφ' ἡλίου, καὶ σελήνῃ προσκυνούμενος. ἤκουσα καὶ τῶν λοιπῶν ἀστέρων δεσπότης. θέρους αὖθις ἐδόκει καιρὸς καὶ τοὐμὸν δράγμα πάνθ' ὁπόσα καὶ δεσπότης πρὸς δούλων τοῖς τῶν ἀδελφῶν εἶχε δράγμασι. ταῦτα τοὺς ἀδελφοὺς εἰς φθόνον ἐξέκαυσεν.. ἀπὸ τούτων τὸ τοῦ γένους ἐλευθέριον ἐγὼ περιῄρημαι. ἐντεῦθεν ἔπιον τοῦ Νείλου. εἶδον τὴν Αἴγυπτον. ἐπέγνων

ter felix, & fratrum copia, & diuitiæ præ omnibus luculentæ; mihi animũ præ alijs pater aduerterat; de me ſpem, eamq; optimã conceperat: prætereaque in aperiendis ipſe inſomnijs magnus; fioq; per quietem celebris, quem inter vigilandum inuidia in ſeruitutẽ adduxit: lætabar à Sole, Lunaq; adoratus; aliarum quoque ſtellarum Dominus nuncupatus ſum. Veris rurſus tempus videbatur, & meus manipulus, quæcunque Dominus erga ſeruos, in fratrum manipulos exercebat. Hæc fratres in odium inflammarunt; ipſeque generis libertate ſpolior. Hinc aquas Nili deguſto, Ægyptum teneo, ſeruorum penſum accuraui, in-

τὰ δ' ἄλλων ἔργα, καὶ τὸ δυστύχημα ἔφερον. ἀλλ' ὢ τῆς μετέπειτα ἐπηρείας. ὢ τοῦ δευτέρου κλύδωνος, ὅν μοι τὸ κάλλος ἐπέγειρεν. ἐλάνθανον ἐπὶ τοῦ προσώπου φέρων τοῦ κακοῦ τὴν ἀρχήν. ἠγνόουν ὡς καὶ σωφρονῶν τις κολάζεται. δεσπότιν ἔλαχον ἀκόλαστον γύναιον. ἔδοξα τὴν ὄψιν καλός. ἐθαυμαζόμην τὴν ὥραν. ἡ δὲ ἀλλ' εἶδεν, ἐθαύμασεν, καὶ τὴν θέαν οὐ μέχρι θαύματος ἔστησεν, ἀλλ' ἔπαθε πρὸς ἔρωτα, καὶ τῇ γνώμῃ δουλεύειν οὐκ ᾐσχύνετο, δεσπότις οὖσα τῷ σώματι. εἰς πειθὼ τὸ πρῶτον ἔβλεψεν, ἐγὼ δ' οὐκ ἐπένευον. ὁπλίζεται λοιπὸν εἰς ἀναίδειαν. ἐ-

fortunioque haud deſpondi animum. Sed heu rerum vices! heu alteram ſubſecutam tempeſtatem, quam mihi formoſitas concitauit! in vultu malorum principiū imprudens comportabam. pudoris, ac caſtimoniæ participes pœnis ſubdi neſciebam. Incontinentem mulierculam dominam habui; decorus ſpecie viſus, propter pulchritudinem in admiratione habitus ſum. Veruntamen illa vidit, demiratur, neque admiratione tenus curioſos oculos coniecit, ſed amore ſaucia voluntariam ſeruitutem, licet domina eſſet, ſuo præſtare corpori non verebatur. & primùm quidem ad ſuadendum animum conuertit, cui ipſe non intendebam: armatur poſtmodum ad impu-

ἐφέλκετό μου τοῦ χιτωνίου, ἐγὼ δ' ἀντέτεινον. καὶ ἦν ἀγὼν ἔρωτος ἀκολάστου, καὶ γνώμης σώφρονος. ἡ μὲν ᾔρα τῆς τοῦ σώματος ὥρας, ἐγὼ δὲ τοῦ τῆς ψυχῆς κάλλους. ἀλλὰ τό γε μὲν ἐκράτησεν ὁ ἔρως οὑμός. καὶ τὸ χιτώνιον ἀποδὺς εὐθὺς ἀπεπήδησα. ὁ δὲ λοιπὸς ἐκεῖνος ἔρως ἀγανακτεῖ τὴν ἧτταν. ἐπιστρατεύει τὸ δεύτερον, καὶ τῆς βίας λάφυρον ἐπαγόμενος τὸ χιτώνιον, συγκροτεῖ πρὸς ἐπιβουλὴν πόλεμον ἕτερον. ἀναστρέφει τὰ πεπραγμένα, καὶ βίαν ἐγκαλεῖ, καὶ γνώμην ἀκόλαστον, τῷ σωφρονοῦντι, τῷ βεβιασμένῳ, τῷ πεπονθότι. προσεπιδείκνυσι καὶ σύμβολον, ὅπερ εἴων πρὸς

pudentiam, arreptaque veſte attrahit, ego obnitebar; certabantque inter ſe impudicus amor, & mens pudica. corporis illa formam, ego animi formoſitatem deperibam. Tandem verò amor meus palmarium aſſecutus eſt; exutaq; veſte ſtatim exilij. atqui reliquus amor, meæ impatiens victoriæ, ſecundò mihi machinam admouet, & violentiæ ſpolium veſtem referens, alium ex inſidijs in me producit exercitum: rebuſque geſtis inuerſis, de vi in iudicium vocat, & mentem impudicam, pudico, violentiam paſſo, & plura toleranti appingit; &, quod ipſe caſtimoniæ ſignum reliqueram, arguit illa improbitatis. Hinc vinculis adſtrictus deducor in carcerem, &

 cùm

σωφροσύνην ἀπέλιπον, ἐπὶ τούτοις δεσμώτης γίνομαι. καὶ νῦν τὰ τῶν κακούργων ὑπέχω, μηδὲν κακουργίας μεταληφὼς, καὶ δίκας, ὧν οὐ πεπονήρευμαι, δίδωμι. Ὦ φθόνε, καὶ δουλεία, καὶ ἔρως, καὶ εἱρκτὴ, καὶ πάντα παράλογα. ἔρως ἐπ' ἐμοὶ ταυτὰ φθόνῳ δεδύνηται. καὶ πάνθ' ὁπόσα φθονούμενος πρότερον, ταῦτα καὶ νῦν ἐρώμενος δεδυστύχηκα. καὶ φθόνος ἀδελφῶν ἀφείλετό μου τὴν ἐσθῆτα τότε, καὶ νῦν γυναικὸς ἔρως ἐγύμνωσε. λάκκος εἶχε τότε τὸν μηδὲν ἀδικήσαντα, καὶ νῦν εἱρκτὴ, καὶ δεσμὸς τὸν μηδὲν κακουργήσαντα. νικῶ σε πάτερ τῆς συμφορᾶς, καὶ τοῦτο μόνον εὐτυχὴς εἶναι· φθόνον ἔπαθον συγγενῆ. καὶ τοῦτο μόνον ἔχω.

cùm nihil flagitij admiſerim, improborum mala ſuſtineo, eorumq; pœnas luo, quæ ipſe iniquè non egeram. O' inuidia, & ſeruitus, & amor, & carcer, reliquaque omnia abſurda! in me amor non diſimilia inuidentiæ molitus eſt; & quæcunque priùs inuidia perpeſſus ſum, eadem & nunc amatus miſerè perpetior. Fratrum inuidia veſtem mihi tunc temporis abſtulerat, & ea nũc mulieris amore ſpolior. Puteus me tum habebat iniurium nemini, & nunc carcer, ac compedes nulli improbitati, nulli aſtrictum ſceleri. Calamitates tuas iam ſupero, Pater; in hoc tantũ beatus; inuidentiam mihi affinium ſubij, in

τῷ τεκόντι παρόμοιον. μᾶλλον μὲν οὖν ὑπερβαίνω καὶ τοῦτο τὸ μέρος. ὁ γὰρ ὑφ' ἑνὸς ἐκεῖνος ἁπλοῦν ἐδυστύχησε, τοῦτο πρὸς πολλῶν ἐγὼ πολλαπλάσιον. Ὢ λαμπροτάτων ἐνυπνίων ἐκείνων. ὦ προσκυνῶν ἥλιε, καὶ ἀστέρες ὑποκλινόμενοι, καὶ δουλεύοντα δράγματα, ὕπνος ἄρ' ἦτε σαφὴς, καὶ τὴν εἰσέπειτα κακῶν τούτων καταγέλως.

quo ſolùm parenti aſſimilor; immò hoc ipſò etiam vinco Patrem: quod enim ille ab vno vnum miſerè ſubierat, hoc ego à multis patior multis modis. O' præclara illa inſomnia! ò Sol adorans, & ſtellæ inclinatæ, & ſeruientes manipuli, ſomnus planè eratis, & nugæ; & ſubſecutorum poſtmodum horum infortuniorum irriſio.

Τίνας ἂν εἴποι λόγους ὁ Ἰωσὴφ τῆς εἱρκτῆς ἐκβληθεὶς, καὶ κρίνας τῷ βασιλεῖ τοὺς ὀνείρους, καὶ τὴν ὅλην Αἴγυπτον οἰκονομεῖν ἐγχειρισθεὶς. β'.

Quænam verba protuliſſe coniectetur Ioſeph, eductus è carcere, & poſt diiudicata Regi inſomnia, totius Ægypti principatu potitus. 2.

ΟΥ'κ ἦν ἄρα τὴν δίκην ἀπολιπεῖν, οὐδ' εἰς τὸ παντελὲς καταγορίαν ἰσχύσαι, καὶ φθόνον

HAud fieri poterat, vt iuſtitia locum aliquandò ſuum non haberet; & omninò,

ἄδικον. φθόνος με τὰ πρῶτα ἐξήλαυνε. γένους ὑπερορίζει, καὶ τῆς ἑστίας, γένους ἀπέχθεια, μῖσος ἐφέστιον· ἔπειτα πάλιν ἔρως ἐπιστρατεύει, καὶ δεσμώτην εἷλεν ἐπιβουλὴ γυναικὸς, ὃν ἔρως ἑλεῖν οὐκ ἴσχυσε δέσμιον. οὕτως ἐδυστύχουν εἴσω τὰ ἀνέλπιστα. ἐπὶ τούτοις ἔμενον τὴν δίκην. προὐκαλούμην σύμμαχον τὴν ἀλήθειαν. Θεὸν ἐπευχόμην τὸν πάτριον. ὁ δ' οὐκ ἐμέλλησεν, ἀλλ' ἥκεν, ἐπήμυνε, καὶ τῆς σωφροσύνης ἠμείψατο. καὶ νῦν οὐκέτι δοῦλος ἐγὼ, καὶ τὰ κακούργων ἐκπέφευγα. ὢ πάντα μοι φανέντα παράλογα,

omneq; in æuum accuſatio, iniuſtaq; inuidentia robur ſeruaret interruptum: propter inuidentiam primùm errans patria careo. è genere, ſociſque propter generis odia, domeſticaſque inimicitias truſus exterminor: poſteaque Amore inſectante, quem nunquam vinculis alligare ille ſuis potuit, ex inſidijs mulieris captus perſtringor. Hac ipſe ratione præter expectationem omnem miſer eram, infortunatusq; iuſtitiam perinde expectabam; adiutricem mihi veritatem aduocabam, Deumq; exorabam patrium, qui pulſa mora, ociùs venit, auxilium tulit, caſtimoniamque gratiſſimo præmio remunerauit. Et nunc nulli ſeruituti ſubiectus, maleficorum quoque pœnas euaſi. Mihi omnia longè ſecus, atque opinabar, euenerant; & in-

καὶ φθόνος πρώην οὐκ ἐλπιζόμενος, καὶ δεσμὸς οἷς ἐσωφρόνουν, μὴ προσδοκώμενος, καὶ νῦν φῶς ἐλεύθερον, καὶ κακῶν ἀπαλλαγὴ, καὶ λύσις δεσμῶν. ὡς καλὸν καὶ τὸ τῆς σωφροσύνης φυτὸν, καὶ καλοὺς τοῖς δρεπομένοις ἀποδίδωσι τοὺς καρπούς. οὐκ ᾔσχυνε τὸν ἑαυτῆς ἐραστὴν ἐμέ. οὐ προὔδωκεν. οὐδ' ἡ ταύτης ἀδελφὴ Δίκη τὸν οὕτω παθόντα τὰ ἀδικώτατα. ἀλλ' ἧκεν ὀψὲ μὲν, καὶ μετὰ πολλοὺς τοὺς κινδύνους, ἀλλ' ἀπέδωκε πάντα σὺν τόκῳ, καὶ τὰς ἐλπίδας ὁ πολὺς οὐκ ἀπήγαγε χρόνος. ἐξείλετο δεσμόν. συνεξείλετο δουλείας. σοφίας ἐνέπλησε. βασιλεῦσιν ἐπέδειξε. καὶ τὸ δὴ μεῖζον, ὅλην Αἴγυπτον ἐ-

& inſperata priùs inuidentia, & vincula, quòd pudorem, ac pudicitiã colui, inexpectata; & nunc lumen liberum, malòrum deuitatio, & vinculorũ ſolutio. Quàm decora eſt Pudicitiæ planta! quàm amplis præmijs ſui participes afficit! Sui me amatorem non confudit, non prodidit, neque eiuſdem ſoror Iuſtitia, iniuſtiſſima indignis modis perpeſſum. Et quamquã ſerò, poſt multa tamen acceſſit diſcrimina, omniaque cum fœnore reſtituit. nec ſpem longi decurſus temporis fefellit, liberauit à vinculis, vnàque cum illis ſeruitutem pepulit, abũdè ſapientia inſtruxit, Regibus manifeſtauit, tandemque vniuerſam mihi elargitur Ægyptum.

χαρίζατο. τούτου νῦν ἔχω
τοῦ φθόνου τόκον, καὶ τῆς
εἱρκτῆς. καὶ τὴν δίκην τῆς
μακρᾶς ἀναβολῆς ἐκεί-
νης οὐ μέμφομαι. τίς εἶ-
δέ ποτε τηλικαύτην τύ-
χης καινοτομίαν; τίς ἤ-
κουσεν ἐπιπλοκὴν πραγ-
μάτων οὕτως ἀνέλπιστον;
οὐκ ᾔδειν ἐξ ἐναντίων
τἀναντία καρπούμενος.
ὅτε καλῶς ἔχειν ἐδόκουν,
τὰ δεινότατα ἔπαχον. καὶ φαινομένων
κακῶν κερδαίνων ἐλάν-
θανον, καὶ ῥόδα μέλ-
λων τρυγᾶν ἐξ ἀκανθῶν
οὐκ ἐγίνωσκον. κατεκρι-
νόμην δουλείαν, ὅτε βιοῦν
ἐδόκουν τὰ ἐλευθέρια.
καὶ νῦν ὅτε μηδ᾽ ἐλπὶς
ἐλευθέρας τροφῆς ὑπε-
λείπετο, τὴν φίλην ἐ-
λευθερίαν αὖθις ἀπέ-
λαβον. Ἐδυστύχουν τὰ

ptum. Hic mihi inuidentiæ, & carceris quæſtus eſt. iuſtitiamque ob longam illam temporis dilationem nullus incuſo. Quis vnquam vidit ſimilia fortunæ mõſtra? quis tantas præter expectationem rerum vices audijt? Neſciebam me mihi ex contrarijs contraria comparare: cùm proſpera vti fortuna videbar, rei meæ infortunium peperi, & ruinis impendentibus, clanculum mihi vtilitates erumpebant; & roſas meſſurus, eas mihi è ſpinis metendas eſſe nõ dignoſcebam: in ſeruitutem condemnabar, cum mihi videbar vitam agere liberam; & nunc, cùm nullius vſpiam liberi victus ſpes relinquebatur, amicam rurſus conſequor libertatem: cum maleficis mala

na-

κακούργων, ὅτε μηδὲν ἠδίκουν. καὶ νῦν ὅτε κακουργεῖν ἐκρινόμην, τῆς εἱρκτῆς, καὶ τῶν δεσμῶν ἠλευθέρωμαι. Ὦ σὺ τότε συνδεσμῶτα, καὶ ταυτὰ δυστυχῶν, καὶ νῦν τὰ μεγάλα συνευτυχῶν, ἱκανῶς με τῆς σοφίας ἠμείψω. πρέπυζαν τὴν χάριν ἀπέδωκας. ἔλυσας δεσμῶν τὸν περὶ τοῦ σοὶ τὴν λύσιν ἐπαγγειλάμενον. ἄμφω τῆς εἱρκτῆς συμμετείχομεν. ἄμφω καὶ νῦν τῶν βασιλείων συμμετεσχήκαμεν. ἀλλ' ὢ τῶν ἐνυπνίων ἐκείνων. ἃ σὺ μὲν προὔτεινες; ἐγὼ δ' ὑπέλυον. ὢ τῶν ἐπὶ τούτοις λαμπροτέρων, ἃ βασιλεὺς μὲν προὔβαλλετο, ἐγὼ δὲ ταῦτα σαφὲς ὑπέπτυσσον. ὡς ἦν ἄρα καὶ πάλιν

nactus ſum, quando nulli iniurius eram; & nunc, cùm perditè patrare iudicor, carcere, & vinculis ſoluor. O' tu vnà mecum tum vincte, & iiſdē oppreſſe infortunijs: nunc verò cui tot vnà mecum congruerunt commoda, ſatis abundè me pro ſapientia remuneraſti, parem mihi gratiam retuliſti: qui tibi libertatem à vinculis antea promiſerát, eum è vinculis liberaſti. Ambo carcerem participauimus, ambobus nunc & regia communicatur. O' inſomnia illa, quæ tu proponebas, ipſe iterpretabar! O' poſt iam dicta, ſplendiora alia, quæ Rex enarrabat, ego planaꝫ interpretatione explicabam! Par erat igitur, rurſum ſomnijs libertatem ſibi vindicare

ἐνυπνίοις τὴν ἐλευθερίαν κομίσασθαι, τὸν χάριν ἐνυπνίων ὑπὸ φθόνου δουλαγωγηθέντα. ἐξ ὀνειράτων δοῦλος εἶδον τὴν Αἴγυπτον, ἐξ ὀνειράτων καὶ νῦν Αἰγυπτίων ἐκράτησα. ἥκουσιν οἱ τῶν βοῶν πίονες, οἱ τῶν ἐνιαυτῶν εὐφορώτατοι. τοῦτον ἐγὼ τὸν χρόνον καλῶς διαθήσομαι. ὅλον ἀποταμιεύσω τὸν σῖτον. εἰς μάτην οὐδὲν ἀναλώσομαι. ἥκουσι μετ' οὐ πολὺ καὶ βόες ἰσχνοὶ τὰ σώματα! χρόνος ἕτερος παρ' ᾧ λιμὸν ἐπαπειλεῖ τὰ ἐνύπνια. καὶ σιτοδοτήσω καὶ θρέψω τὴν Αἴγυπτον εἰς καλὸν ταῖς προτέραις εὐφορίαις ἀποχρησάμενος: μᾶλλον μὲν οὖν κοινὸν ἔσται πρὸς πᾶσαν γῆν τὸ κακόν, καὶ τὰ τῆς σιτοδείας κοινώσομαι. τοῦτο ἦν ἄρα τὰ δράγματα.

care eum, qui inſomniorum cauſa in captiuitatem abductus fuerat: ob inſomnia ſeruus Ægyptum oculis vſurpaui; ob inſomnia nunc tandem Ægypto potior. iam boues pingues, anni adſunt fertiliſſimi. Hoc ego tempus cōmodè diſponam: meſſes ego immenſas in horreis condam, nihil conſumam temerè. Paucos poſt annos boues quoque corpore extenuati conuenient; tēpus aliud, quo famem minantur inſomnia; tum frumentum diſtribuā, alam Ægyptum, prioribus fertilitatibus nō incommodè vſus. immò vniuerſum terrarum orbem malum iſthoc inuadet; & ipſe frumenti inopiæ occuram. Id ſcilicet erant

τοῦτο προσκυνῶν ἥλιος, καὶ ἀστέρες ὑποκλινόμενοι, ὅτι πᾶσαν δεῖ με θρέψαι τὴν ὑφήλιον, καὶ πάντες ἐφ' ὅσοις τὸ τῶν ἀστέρων προσπεσοῦνται σιτοδοτοῦντι, καὶ τῆς ἐμῆς οἰκονομίας δεήσονται. οἴμαι δὲ ὅτι καὶ αὐτοὺς ὄψομαι ἀδελφοὺς προσπίπτοντας ἐπὶ δράγμασι, καὶ θεάσονται δεσπότην, ὃν δοῦλον ἐνόμισαν. τούτους ἀστέρας ἐγὼ τίθεμαι τοὺς ἀπὸ Σάρρας, τοὺς ἐξ Ἀβραάμ. τούτων γὰρ καὶ Θεὸς ὑπὲρ τοὺς ἀστέρας πληθῦναι τὴν γονὴν ἐπηγγείλατο. καὶ γένοιτό μοι τοὺς ἀστέρας τούτους ἰδεῖν, καὶ προσεποψοίμην τὸν πατέρα τὸν ἥλιον.

erant manipuli .. id Sol adorans, & ſtellæ ſe declinantes, quòd omnes me latè terras alere oportet; omneſque mihi frumentum elargienti ſtellarum inſtar procumbent, meæ omnino indigentes adminiſtrationis. Fratres me quoque viſurum puto ante manipulos concidentes, ipſique dominum aſpicient, quem addixerant ſeruituti. Stellas hos exiſtimo, qui ex Sarra orti, & Abraham: huic namque Deus ſtellarum inſtar poſteros multiplicandos promiſerat. Et vtinam ſtellas haſce videam, præque eis Patrem Solem aſpiciam!

Quæ-

Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, καὶ κρατηθεὶς ὑπὸ τῶν ἀλλοφύλων, καὶ μέλλων ἀποσφάζεσθαι. γ'.

Quænam verba dicere potuerit Dauid, cùm Saule perſequente, ipſe teneretur ab Allophylis, eſſetque iam neci tradendus. 3.

Εὖγε τῆς τῶν ὁμοφύλων ἀνοίας. εὖγε τῆς περὶ τὸν ἀριστέα προθέσεως. ὡς καλήν γε τῆς ἀριστείας ἀντιλαμβάνω δωρεάν. μετὰ τρόπαιον δραπετεύω. μετὰ νίκην ἐλαύνομαι. καὶ γίνεταί μοι πολέμου τελευτὴ μάχης δευτέρας ἀρχή. καὶ τὰ τῆς ἀριστείας εἰς φυγὴν ἀποτελευτᾷ. Γολιὰθ μὲν ἐκεῖνος Θεοῦ ζῶντος ἐξουδενίζων παράταξιν, πέπτωκε μετὰ καὶ τῶν αὐτοῦ θεῶν, καὶ τὸ δὴ μεῖζον, οἷς ὥπλιστο καθ' ἡμῶν, τούτοις παρ' ἡμῶν ἀπεσφάττετο, καὶ γέγο-

O Proximorum mihi genere dementiam! Euge, vt erga bellatorem, ac primatem ſtrenuum animis afficiuntur! vt me paribus, ac gratis muneribus pro dignitate facinorum remunerantur! Poſt trophæa in fugam agor. poſt victorias eijcior, bellique exitus ſecundæ mihi pugnæ exordium fit; & præclara facinora in fugam finiunt. Goliathus ille quidé Dei viui exercitum ludificatus, vnà cum ſuis Dijs excidium ſubijt. &, quod admiratione dignum, quibus ille nobiſcum prælium committe-

bat

νεν ἔργον μαχαίραις μὲν τοῦ αὐτοῦ, δεξιᾶς δὲ ταυτησὶ τῆς ἐμῆς. τὸ δ' ἄλλο πᾶν ὅσον ἀπερίτμητον ᾤχετο. τίνα γοῦν μοι τὰ γέρα; τίνες αἱ τῶν τροπαίων ἀμοιβαί; ὁμόφυλος μάχη μετὰ μάχην ἀλλόφυλον, οἰκείων φυγὴ μετὰ φυγὴν δυσμενῶν. πόλεμον ἐκράτησα γνωριζόμενον, καὶ φεύγω πόλεμον ἄλλον ἀνέλπιστον, ὃν οὔτε κρατεῖν εὐσεβῶς, τὸ γὰρ δυσμεναῖνον ὁμόφυλον οὔτ' αὖθις ἁλίσκεσθαι δίκαιον. τὸ γὰρ ἐξ ὁμοφύλων πεσεῖν οὐ καλόν. τί ταῦτα Σαοὺλ; διώκεις, ὃν ἐν ὅπλοις ἐθαύμαζες; ὃν εἰς γένος συνῆπτες, τοῦτον τοῦ γένους ἀποδιι-

bat armatus. ijſdem à nobis ipſis interimitur, ſuoque ipſe ferro, ſed dextera configente mea, cadit, & vniuerſum incircumciſum reliquum agmē internecione deletum eſt. Quæ igitur inde mihi munera? quæ tropheorū hoſtimenta? pugna affinium erga me, poſt pugnam aduerſus exteros pugnatā, & poſt aduerſariorum fugam, noua conſanguineorum fuga expellor. bellum confeci notum, bellumque aliud inſperatū propulſo. quod abſoluere haud pium fuerit. qui enim decertat, cùm eiuſdem generis ſit, indignum videtur capi. Nam à proprijs occumbere indecorum eſt. Quid hæc ò Saul? quem in armis admirabaris, perſequeris; quem in genus admiſeras tuum, hunc à genere dirimis, eijcis eum, à quo

priùs

στάς, ἀπομαίνεις, ὑφ' οὗ τὸ πολέμιον πρότερον; μανίας ἔργα ταῦτα, καὶ πνεύματος πονηροῦ. ἢ που καὶ πάλιν μέμηνας; ἄρχει καὶ πάλιν τάχα σε τὸ δαιμόνιον; ἀπελήλαται μεθ' ἡμῶν καὶ τὰ κρούματα, ὑφ' ὧν σοι τῆς ψυχῆς τὸ μαινόμενον ἐξεκρούετο. καὶ νῦν ἐπεισπηδᾷ σοι σφοδρότερον. ἐκείνου τοῦ πονηροῦ πνεύματος τοῦτον ἐγὼ κρίνω τὸν πόλεμον. ἐκεῖθεν εἶναι ταῦτα νομίζω τὰ τραύματα. ἐπλήττετο παρ' ἡμῶν τοῖς τῆς κιθάρας κρούμασιν. ἔφευγεν. ἐδραπέτευεν. ἤλαυνε τῆς σῆς ψυχῆς ὥσπερ τινὸς οἰκίας ἀπελαυνόμενον. εἶτ' αὖθις παλιννοστεῖ, καὶ χεῖρα μανικὴν πρὸς μουσικὴν αἰθώπλισε δεξιάν. ἵν' ἢ ἐπεσῶμαι φεύγων, καὶ δίκην λήψομαι τῶν κρου-

priùs hoſtes eiecti ſunt. Inſanię hęc ſunt, & mali Dæmonis conatus. Num rurſus infurorem ageris? Num iterum te Dæmon fatigat, ac pręfocat? Vnà nobiſcum fidium pulſus propulſati ſunt, quibus animi tui inſania pellebatur; & nunc audentiùs irruit. Illius egò mali ſpiritus bellum hoc eſſe exiſtimo. inde hæc redintegrari vulnera contueor. Pulſibus citharæ percuſſus ille à nobis, fugam arripere, abripere ſeſe, tuoque ex animo, æquè ac è propria æde, pulſus angi. Sed eccum, actutum reuertitur, & inſaniens brachiū aduerſus muſicam dexteram armat; vt vel fugiens cadam, & pœnas luam modulantium

μάτων, ἢ καὶ κρατήσω μαχόμενος, καὶ τὰ τῆς νίκης μεταπεσεῖταί μοι πρὸς ἀσέβειαν. ὡς ἔμοιγε κρεῖττον πεσεῖν, ἢ πρὸς ὁμοφύλους βάψαι τὸ δόρυ, καὶ τροπὴν ἐξ ἀσεβείας λαχεῖν. ἀλλ' οἴμοι. τίνα τοῦτον ὁρῶ πόλεμον ἕτερον; ἐχθροὺς ὁμοφύλους ἐκπέφευγα, καὶ δυσμενέσιν ἀλλοφύλοις ἐμπέπτωκα. πόλεμος ἐπ' ἐμοὶ τίκτειν οἶδε πόλεμον, καὶ πόλεμον δυσμενῶν, ὁμοφύλων διαδέχεται πόλεμος, καὶ δυσμενεῖς ὁμοφύλους αὖθις ἄνδρες πολέμιοι. ἐγὼ καὶ νικῶν ἐλαύνομαι, καὶ φεύγων ἁλίσκομαι. τί δράσω; τί χρήζομαι; τοῖς παροῦσι μέσος πολεμίων ἔστηκα. ἤδη με τὴν μορφὴν ὑποπτεύουσιν. ἤδη

tium pulſationum; vel bello dimicans rerum potiar, victoriaque in impietatem vertatur. Satiùs mihi fuerit, cadere, quàm in populares meos manus ac ferrum cruentare, indeque me fugę, reum impietatis, dedere. Sed væ mihi miſero! quodnam eſt hoc aliud bellum, quod cerno? hoſtes mihi genere coniunctos declinaui, & in exteros aduerſarios incidi. bellum in me bellum generat, & hoſtium pugnam popularium pugna, & populares inimicos rurſum viri bellatores excipiunt. Ipſe & victoria potitus expellor, & fugiēs intercipior. Quid agam? quo me vertam? in præſentia aduerſarijs cingor. iam formam meam ſuſpectam habent.

μου περιεργάζονται τὴν δεξιάν. ἀμήχανον τὸ κακόν. βάρβαρος ὄχλος Γολιὰθ τοῦ πεσόντος ὑφ' ἡμῶν ὁπλίζεται, γένος ὅλον ὑπ' ἐμοῦ τὸν στρατηγὸν ἀφῃρημένοι, τηλικαύτην ἐν πολέμοις περικεκοσμημένοι δεξιάν. ἆρα δακρύσω; ἆρα τὴν συμφορὰν ἀποκλαύσομαι; προβαλοῦμαι νόμον πολέμου, καὶ συγγνώσονται; ὡς ἦν ἐν ὅπλοις ἀγών, καὶ δυσμενῆ βάλλειν ἐπὶ μάχῃ ἀφεῖται. νῦν δ' ἀλλ' ἱκέτης ἥκω, καὶ πέφηνα ξύμμαχος. ἀλλ' οὐκ οἶδε τὸ βάρβαρον σπένδεσθαι. ἀλλ' οὐκ οἶδεν ἱκεσίας αἰδῶ. οὐ πρὸς οἶκτον μαλάσσεται. εἰς οὐδέν μοι τοιγαροῦν πεσεῖται τὰ δάκρυα. Γενναῖος εἶ, φήσουσι. δίκας ἡμῖν ὀφείλεις. πέπτωκεν ὑπὸ

bent. iam dexteram anxiùs conquirunt: irreparabile malum. barbara à nobis interempti Goliathi turba arma capiunt.gens integra ſuo per me Duce ſpoliata, in bello fortes dextera, & ſanè ſtrenui. Lacrymabor ne? num infortunium deplorabo? proponam bellicum ius, & veniam impetrabo? certamen in armis fuiſſe, in quibus aduerſarium cædere permittitur. Veruntamen nunc ſupplicans adſum, & fero ſuppetias: at gens barbara paciſci neſcia, ſupplicationis nullam reuerentiam nouit, neque ad miſericordiam trahitur. Fruſtra igitur lacrymas effundam. Generoſus es, dicent, pœnas nobis debes. per te Goliathus cæcidit, ca-

de

σοῦ Γολιάθ. πίστις καὶ σὺ παρ' ἡμῶν. ἀλλ' ἄγε τῆς ἐπινοίας. ὀψὲ μὲν, συνῆκα δ' οὖν. μανίας προσωπεῖον ὑποδύσομαι, καὶ φρενῶν ὑποκρινοῦμαι παραφορὰν, καὶ σκηνοβατήσω τὰ μανικά. οὕτως οἶμαι τὸ τοῦ πάθους ὑπερβάλλον, καὶ τὸ βάρβαρον καταιδέσει, καὶ Σαοὺλ εἰς οἶκτον ἴσως ἐφέξεται. αἰδεσθήσεται γὰρ, εἰ δι' ἐκεῖνον αὐτὸς μέμηνα, δι' ὃν μαινόμενος πέπαυται.

de & ipſe per nos. Sed ò benè excogitatam machinam! ſerò, attamen mihi in conſilio adſum, meliore mente. Laruam ipſemet furoris induam, mentis alienatæ inſaniam ſimulabo, & deliramentorum omne genus tanquam in ſcena, & theatro repræſentabo. Hac ratione, vt puto, perturbationis immanitas, & barbaros in verecundiam, & Saulem fortaſſe in miſericordiam pelliciet: rubore nanque ſuffundetur, ſi propter eum ipſe inſanij, per quem ille furens, ac demens à furore, ac dementia liberatur.

Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ ὑπὸ τοῦ Ἀβεσσαλὼμ τοῦ παιδὸς αὐτοῦ διωκόμενος. δ'.

Quænam verba dixiſſe veroſimile ſit Dauid, cùm eum Abſalon filius perſequeretur. 4.

ΟΥ'κ ἐπιλείπω καὶ βασιλείοις φυγα-

REgnum etiam obtinens, & authoritate

διωκόμενος. καὶ περὶ τῆς ἀρχῆς ἐδραπέτευον, καὶ μετὰ τὴν ἀρχὴν αὖθις ἐλαύνομαι. ὢ χρῆμα φθόνου μεστόν, καὶ πρὶν ἥκειν ὑποπτευόμενον, καὶ παριὸν αὖθις ζηλοτυπούμενον. ὢ πάντα παθὼν ἐγώ, καὶ πρὸς τῶν γένους βαλλόμενος. οὐχ ἵσταταί μοι τὸ τῆς ἐπιβουλῆς, ἀλλ' οἴκοθεν ἔχω τὸν πόλεμον. ἀφ' ἑστίας βάλλομαι, καὶ φθόνον Σαοὺλ ὕβρις παιδὸς διαδέχεται. ἔφυγον κηδεστοῦ ἐπίβουλον, καὶ πρὸς παῖδα τύραννον αὖθις ἐμπέπτωκα. ἀλλὰ τίς ἐστὶν ὁ πόλεμος; πόθεν τὸ τῆς καινῆς ταύτης πείρας. αἰσθάνομαι τοῦ κακοῦ. περιβάλλει μοι τὸ θεῖον. εἰς νοῦν λαμβάνω

ritate aulę communitus, non dùm pedem ſiſto, ſed fugito. ante dominatum me in pedes conferebam, & rurſus poſt dominatum in fugam impellor. ò rem inuidentiæ plenam! rem, antequam aduenerit, ſuſpicioni, poſtquam acceſſerit, odijs, ac ęmulationibus obnoxiam! ò me iam perpeſſum omnia, & à cognatis etiam impetitum! adhuc mihi locantur inſidiæ, & domi bellum infertur: à focis ipſis petor, & Saulis inuidentiam iniuria filij excipit. affinem inſidias mihi parantem aufugi, & in filium tyrannum rurſum incidi. Sed vnde nam gliſcit hoc prælium? vnde hæc cum nouo periculo in me ipſo experior? Perſentiſco Numen eſſe. illud me malis affligit. & mente ca-

πόθεν μοι τὰ τῆς φυγῆς ἐπεψήφισαι. αὐτὸς ἐμαυτῷ τὸν παῖδα ἐφώπλισα. δίκης ἔργα ταῦτα, καὶ θεόθεν ἐλαύνομαι. κατετρύφησα τῆς ἀρχῆς, καὶ πρὸς ἡδονὴν ἀπήχθην παράλογον. εἶδον ἀδίκοις ὀφθαλμοῖς· ἔπαθον εἰς ἔρωτα. παρέβην γάμων θεσμοὺς· ὑφῃρημένην εὐνὴν μὴ προσήκουσαν. ἐπέθηκα τούτοις καὶ φόνον. ταῦτά με νῦν βάλλουσι· τοῖς ἐμοῖς ἁπλῶς ἁλίσκομαι. Ὢ δίκης βαρείας μὲν, ἀλλ᾽ ἀπὸ τοῦ πεπονθότος ἐχούσης τὴν ἀρχήν. γάμον ὕβρισα, καὶ πρὸς γάμου κολάζομαι. ὅθεν ἡ δίκη, ἐκεῖθεν καὶ πέπληγμαι. εἰς παιδὸς ἡμάρτανον γένεσιν, καὶ παῖδα νῦν ἔχω τὸν δήμιον. καὶ πατὴρ εἰς παίδων

te capio, vndenam ad fugam cōdemnor. Ipſe mihi metipſi filium armaui. iuſtitiæ hæc opera ſunt. & à Deo pulſus eijcior. eluxuriatus ſum in dominatu. ad abſurdam voluptatem adactus ſum; iniquis oculis aſpexi; in amorem coniectus ſum, iura nuptiarum tranſgreſſus; torum indecens ſurripui, & his tandem cædem aggeſſi: Hæc me nunc confodiunt. meis ipſe, vt verum fatear, artibus capior. ò iuſtitiam grauem, ſed quæ à perpetiēte ipſo exordium habet. in nuptias iniurius à nuptijs punior; inde mihi plagæ infliguntur, in quibus deliqui: ob filij generationem culpam in me admiſi, & filius carnufex adeſt. & Pater in filij natalibus

γονὰς ἀδικῶν, ὑπὸ παιδὸς σωφρονίζομαι. παρέβην ὦ παῖ τὴν φύσιν ἐγώ... καὶ γίνῃ παρὰ τὴν φύσιν αὐτὸς ἀδικώτερος. πότερον ἐμαυτὸν τῆς ἀτοπίας, ἢ τὸν παῖδα τῆς παρανομίας ἀποκλαύσομαι; ἐμιμήσω τὸν τεκόντα ὦ παῖ τὰ μὴ προσήκοντα. καὶ πατέρα ἁμαρτόντα τιμωρῶν, ἁμαρτάνεις διπλάσια, καὶ μὴ προσήκουσαν ἀρχὴν ὑφαιρούμενος, καὶ τὸν εἶναι σοι δόντα μηκέτ' εἶναι βουλόμενος. ἆρ' οὖν εἰς τὰ ὅπλα βλέψω; καὶ πολέμῳ διακεινοῦμαι περὶ τῆς ἀρχῆς; καὶ πῶς ἂν ὑπεξέλθω τοῖς ἐμοῖς σπλάγχνοις; οὐκ ἔχω πῶς ἂν ἐπανατείνω τὸ ξίφος κατὰ παιδός. αἰσχύνομαι πατὴρ καλεῖσθαι πολέμιος. φεύγων οἰχή-

iniquus, à filio compeſcitur. naturam ò Fili prætergreſſus sũ; atque ipſe in naturam iniquior euadis. mene rem ob abſurdam, an ob impietatem filium ego deplorem? In his, quæ haud addecebant, Fili, Patrem æmulatus es. & Patrem culpæ compotem puniens, duplex ſcelus admittis, dominationem alienam deprædans, &, qui tibi, vt eſſes, præſtiterat, ille ne ſit, moliens. Ad arma ne igitur animum aduertam, pugnaque de principatu contendam? ſed quanam me ipſum ratione è viſceribus meis expediam? Aſt nulla mihi ſuppetit facultas, enſem in filij pectus redigendi. pudet me Patrem, & hoſtem dici; fugiens

σομαι. τῆς ἐρημίας καὶ νῦν ἐπιλήψομαι. οὕτως ἐγὼ περιεῖναι πειράσομαι. οὕτω τῷ παιδὶ πατροκτονίας ἀφορμὴν, καὶ παιδοκτονίας αὐτὸς οὐ δεξάμενος τρόπαια. εἰ δέ που δεήσει καὶ μάχεσθαι, ἔχω τὸν στρατηγήσαντα· τούτῳ ἐπαφήσω τοῖς ὅπλοις, πρότερον παρασκευασάμενος ὡς παῖδα ζωγρεῖν, καὶ μὴ κτείνειν ὡς τύραννον. οὕτω καὶ Σαοὺλ ἐκεῖνον ὑπνεῦντα λαβὼν, ἐφεισάμην, οὐχ ὡς ἐχθρὸν ἀναιρῶν, ἀλλ' ὡς κηδεστὴν περιποιούμενος.

concedam aliò ab ædibus. deſerta nunc quoque obeam. ſic vitæ conſulam ipſe meæ. ſic parricidij filio anſam ſubtraham; nec mihi ob cædem filij trophæa erigam. Sicubi verò pugnæ opus fuerit, âderit copiarum ductor; huic prælij poteſtatem faciam, priùs illi dans in mandatis, vt eum, veluti Filium, viuum capiat; nec tamquam Tyrannum obtruncet. Non diſſimili ratione, & ipſe Sauli, edormienti illi, & à me comprehenſo, peperci; non vt hoſtem trucidans, ſed vt affinem in cuſtodelam recipiens, ac tutans.

Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ ἐν σπηλαίῳ καταλαβὼν ἀφύλακτον ὑπνοῦντα τὸν Σαοὺλ, ὅτε ὑπ' αὐτοῦ ἐδιώκετο. ε΄.

Ἔχω σε τὸν διώκτην ὁ δραπέτης ἐγὼ. ἔχω σε τὸν εἰς ἀναίρεσιν ἑτοίμον, εἰς τὸ παθεῖν ἑτοιμότερον. ὢ τῆς ἐκ Θεοῦ τῶν πραγμάτων ἐπιφορᾶς. ἀντέστραπταί σου τὸ βούλημα, καὶ ὃ δρᾶν ἠπείλεις, τοῦτο νῦν αὐτὸς περίκεισαι. καὶ ὃν λάκκον ὤρυξας, εἰς τοῦτον ἐμπέπτωκας. διώκων ἑάλως, καὶ φεύγων κεκρότησαι. ὕπνῳ βέβλησαι, καὶ τὸ σῶμα μετὰ καὶ τῆς φυλακῆς καταβέβληται. κἂν εἰ βούλοιτό τις, ἄπονον τὸ θήραμα. εὐάλωτος ὁ πολέ-

Quoſnam ſermones Dauid efformarit, cùm in ſpelunca Saulem incuſtoditum, atque edormientem comprehendiſſet, dudum Saule ipſum inſectante. 5.

TE perſecutorem fugitiuus ipſe teneo. teneo te ad occidendum paratum, paratiorem ad patiẽdũm. O rebus ex Deo illatas viciſſitudines! Conditio tua immutata eſt, & quod alijs minabaris, illi nunc ipſe ſubiaces, & in foueam, quam ipſe effoderas, delapſus es. perſequens captus, & fugiens detentus es. ſomno irretiris, & corpus vnà cum cuſtodia deijcitur. & volenti abſque vllo diſcrimine venatio patet : & eſt qui capi poſſit aduerſarius.

μιος. κεῖται μὲν ὁ φυγαδεύων, ἄφρακτος τὴν δεξιὰν, ἀφύλακτος τὸ σῶμα. ὡς ταγε τὴν δορυφόρον ὕπνος ἐξέψατο, καὶ τὴν πολλὴν φυγὴν ἐκείνην διέλυσεν. ἐφέστηκα δὲ ὁ φυγὰς, καὶ τὸ ξίφος ἐγγὺς, καὶ ἡ χεὶρ οὐκ ἄνοπλος. τί φὴς ὁ γενναῖος; διώκεις, ὃν ἐν σπηλαίῳ καθεῖρξας; ζητεῖς, ὃν ἔχεις ξυνέστιον; σὺ μὲν ἠπείλεις, ἐγὼ δὲ ἐπυνθανόμην τῆς ἀπειλῆς. σὺ μὲν ἐσκαιώρεις τὴν ἐπιβουλὴν, ἐμὲ δ' οὐκ ἐλάνθανε τὸ μηχάνημα. ἐμελέτας τὴν δίωξιν. καὶ ὀρῶν ἐφαντάζου τὰς κορυφὰς, καὶ τοὺς ὑψηλοτέρους περιεσκόπεις τῶν λόφων. ὁ δ' ἐγγύς που παρεδυόμην αὐτός. Ω Θεὲ πάτριε, εἰς χεῖρας ἔχων, ὃν ἐσπούδε, λαβεῖν οὐκ ἐγίνω-

Qui perſequebatur, iacet, inermis dextera, corpore incuſtoditus, cùm ſatellites ſomnus turbauerit, & immanem illam inſectationẽ repreſſerit. ipſe verò fugiens adſtiti. propè eſt enſis, & manus armata. Quid ais, ò ſtrenue? Quem in ſpelunca concluſeras, perſequeris? quem ſub eadem æde tenes, perſcrutaris? Tù quidem minabaris, minas ipſe audiebam. tu moliebaris inſidias, me verò technæ non latebant. inſectationem apparabas, montiumque meditabaris cacumina, & excelſiores rupes perſcrutabaris; ipſe verò propè memet in latebram cõijciebam. O Deus patrie! præ manibus habens, quem capere co-

σκεν. ἀλλ' ἡ μὲν ἐφ' ἑνὸς τοῦ σπηλαίου, καὶ μία πέτρα φυγάδα, καὶ διώκτην ἐδέχετο. εἶθ' ὁ μὲν ὑπνώττει, καὶ πέπτωκε, καὶ φροῦδοι μὲν οἱ φύλακες, φροῦδα δὲ τὰ τῆς ἐπιβουλῆς. καὶ μικροῦ δεῖν ὡς ἐκ πολιορκίας ἁλόντες τὸ παθεῖν οὐ δεδοίκαμεν. τίνες ἄρα σοι νῦν, ὦ Βασιλεῦ, προσβάλλουσιν ὄνειροι; ἄρα δοκεῖς ἔχειν ἐχόμενος; ἄρα νομίζεις ἁλίσκειν, αὐτὸς ἁλισκόμενος; τάχα που διώκεις καὶ κείμενος; ἐπιπηδήσεις ἴσως τῇ καταδρομῇ, καὶ δεσμώτης ὕπνου γενόμενος; ἀλλ' ὦ κακοὶ φύλακες. ὦ δορυφόροι πρὸς ὕπνον διωκόμενοι. εἴ μοι παρῆν, ἡδέως ἂν ὑμᾶς ἐκόλασα. τὸ γὰρ ἐφ' ὑμῖν, ἀφύλακτος ὁ Βασιλεὺς, καὶ

conabatur, capere minimè nouerat. ſub vna ſpelunca ambo eramus, & ſaxum vnum fugientem, & fugantem accipiebat. Sed hic ſomno correptus concidit, cuſtodeſque nulli ſunt, omneſque inſidiæ decollant, & licet obſidione intercepti, pati non metuimus. Quænam igitur nunc, ò Rex, ſomnia ſomnias? num captus capere tibi videris? num interceptus ipſe, intercipere exiſtimas? num & cubans, inſequi intendis? irruptionem fortaſſe concitas vel ſomni vinculis captiuus? ſed, ò peruerſi cuſtodes! ò ſatellites ad ſomnum decliues! ſi facultas daretur, vtique vos quàm lubentiſſimè punirem; quod enim in vobis eſt, in cuſto-

ditus

προδίδοται. οὕτως ἐγὼ προδότας ὑμᾶς τίθημι. ἀλλ' ἔγωγε καὶ ὡς βασιλέα φυλάξω, καὶ ὡς μισοῦντα φυλάξομαι. κἂν γὰρ ὡς ἐλαύνοντα νομίζω πολέμιον, ἀλλ' ὡς χριστὸν Κυρίου σεβάζομαι, κἂν ὡς δυσμεναίνοντα, μὴ στέργειν βιάζομαι, ἀλλ' ὡς κηδεστοῦ περιέχομαι. φείδεσθέ μοι καὶ ὑμεῖς, ὦ συστρατιῶται, τοῦ βασιλέως, ὃν πολλάκις ἐδορυφορήσαμεν. μὴ νῦν τοῦτον ἀνέλωμεν. οὐ βούλομαι τυραννίδα συναναμίξαι μου τοῖς ἀριστεύμασι. μή μοι τὰ τρόπαια φόνῳ παρανόμῳ συγκρύψητε, μηδὲ μετὰ Γολιὰθ καὶ χειρὸς Κυρίου τὴν ἐμὴν δεξιὰν αἰτιάσθω. Μωϋσῆν οἶδα νομοθέτην, καὶ νομοθετοῦντα Θεόν, ὑφ' οὗ νῦν

ditus Rex proditur. ſic ego vos in proditorum ſorte colloco. Verùm ipſe & veluti Regem cuſtodiam, & tanquam ab oſore me cuſtodiam. Licet enim eum vt eijcientem, hoſtem exiſtimē, vt Domini vnctum, reuereor. licet vti odio me perſequentem cogar non diligere, vt tamem affini animum amanter intendo. Parcite & vos, ò commilitones, Regi, quem ſæpiùs ſatellitio ſtipauimus. Nè nunc eum occidamus. Nolo inter præclara mea facinora Tyrannidem locum habere. Trophæa mea cæde iniqua ne maculetis, neque poſt Goliathū vnctus Domini meam dexteram in iudicium vocato. Legumlatorem Moyſem noui, Deumque

legis

σέσωσμαι, ὡς καὶ βασιλέα πολέμιον χαρισώμεθα. φόνος ἅπας νόμοις ἀπείρηται. τὸ δὲ τῆς βασιλείας σεμνότερον καὶ τὸν φόνον ποιεῖται δεινότερον. ἀφαιρετέον μικρὸν καὶ τῆς χλαμύδος. περιαιρετέον τὶ καὶ τοῦ δόρατος, ὡς ἐγὼ τῆς πέτρας ἐξιόντι ταυτησὶ τὰ σύμβολα ἐπιδείξωμαι. καὶ κακίσω μὲν τοῦ ὕπνου τοὺς φύλακας, διηγήσομαι δὲ καὶ ὡς ἡμῖν εἵληπται, καὶ ὡς ἐφεισάμεθα δυσμεναίνοντος.

legis conditorem, à quo nunc ſeruor immunis, cui & Regem inimicũ elargiamur. Cædes quælibet legibus interdicitur. At maieſtas regia grauiorem quoque efficit cædem: fruſtum è chlamyde detruncemus; aliquid ab haſta diſcerpamus; vt ipſi è petra hacce exeũti ſigna oſtendam, & reprehendam ob ſomnum cũſtodes, enarremque, vt eum deprehendimus, & vt ipſi, & ſi nos ille odio perſequeretur, pepercimus.

Τίνας ἂν εἴποι λόγους ἡ ἐξ Ἐδέσης παρὰ τοῦ Γότθου ἀπατηθεῖσα κόρη. ϛʹ.

Quæ forte verba dixerit Edeſſena Puella, à Gottho milite deluſa. 6.

ΩΣ ἄρα πιθανώτατόν τι χρῆμα γλῶσσα ψευδὴς, ἢ βάρβαρος γνώ-

QVàm blanda res eſt, quàm ad perſuadendum accõmo-

μην τυραννικώτατον. ταῦτά μου τὴν παρθενίαν ἐσύλησε. ταῦτά μου τὴν παρθενίαν ἐσκύλευσεν. εἶχε μὲν γάρ μοι τὰ τῆς πατρίδος οὐκ ἀγαθῶς, καὶ κίνδυνος ἐπέκειτο τῇ κεφαλῇ, καὶ ὅλον ἔθνος κατεπεκύκλου τὴν Ἔδεσσαν, δουλαγωγῆσαι ταύτην βαρβαρικῶς φρυαττόμενον, ἔργον θέσθαι μαχαίρας, καὶ ἀφῃρέσθαι τὸ ἐλευθέριον. ἀλλ' ἧκε συμμαχικὸν ἀξιόχρεων ἀντιπαραταξόμενον πρὸς τὴν ἔφοδον. εἰ μὲν οὖν ὅλον ἐπίορκον, εἰ μὲν οὖν ὅλον βάρβαρον, ἐρωτόληπτον, οὐκ οἶδα, νὴ τὴν δουλείαν ταύτην, ἣν κατακέκριμαι. νὴ τὴν ἐλευθερίαν, ἣν ἀπολώλεκα. ὁ δέ γε Γότθος ὁ περὶ τὴν ἐμὴν οὐκ ἀγαθῷ ποδὶ φοιτήσας οἰκίαν, βάρβα-

modata lingua fallax! quàm & barbara mens violentum. Hęc me impudicam fecere; hæc à me pudicitiam pepulere. Res enim patriæ in diſcrimine nutabant, capitibuſque noſtris magnum periculũ creabatur, cùm Edeſſam vrbem, integra natio barbarè inſoleſcens obſidebat; vt eam deiectam, expugnatamque, internecioni traderet, libertateque priuaret. Sed ecce non contemnendæ copiæ nobis auxiliares, vt irruptionem illam comprimerent, adfuere. An tamen omnes illæ periuræ, an barbaræ omnes, libidinibuſque obnoxiæ, per ſeruitutem, in quam condemnor, per libertatem, qua ſpoliata ſum, nulla ipſa noui. Attamen Gotthus,

qui

ρος τὴν γνώμην, τὴν γλῶσσαν ἐπίορκος, καὶ τὰ πολλὰ τοῖς ἔρωσι χαριζόμενος, εἶδέ με παρθένον οἰκουρουμένην παρθενικῶς, καὶ ὅλην οὖσαν παρθένον αἰδοῖ, καὶ συνέσει, καὶ τῷ σοβήματι. ὁ δέ, ἀλλ' εἶδεν, ἀλλ' ἐξετάκη τοὺς ὀφθαλμούς, καὶ ὅλην αὐτὴν καρδίαν ὑπεξεκάη τῷ ἔρωτι. Ἐγὼ δὲ ἄρα οὐκ ᾔδειν ἐπ' αὐτοῦ δὴ τοῦ προσώπου φέρουσα τὰ δεινά· καὶ τῷ κάλλει μέσῳ κατορωρυγμένα τὰ δυστυχήματα. τὰ μὲν οὖν δὴ πρῶτα ἔρωτι συμμάχῳ χρησάμενος, καὶ τὴν γλῶτταν ἔχων ἑλέπολιν κατ' αὐτῆς δὴ τῆς σωφροσύνης κατεστρατεύετο, πολιορκῆσαι θέλων τῆς παρθενίας μου τὴν ἀκρόπολιν, καὶ καταστρατηγῆσαι τῆς σωφροσύνης

qui in meas haud omine felici ædes irruerat; mente barbarus, lingua periurus, pleraq; amoribus concedens, conſpexit me virginem, domi me, vti virgines addecet, continentem, & verecundia, & prudentia, & inceſſu puram putam virginem: ille itaque intuitus, oculos contabuit, totoque, pectore amore exarſit. Ego verò haud noueram, quæ in ipſa facie grauia, aſperaque, pulchritudineque in media defoſſa infortunia deferebã. Primùm igitur opera amoris auxiliari vſus, adaptansque, veluti machinam, linguam; caſtimoniam captabat, illud in animo habens, vt virginitatis meæ arcem obſideret, & pudicitiam de-

αὐτῆς. Ἐπεὶ δὲ πείρᾳ φθάνει μαθὼν, ὡς οὐχ ἱκανὰ ταῦτα καταστῆσαι τὰ τῆς σωφροσύνης πυργώματα, μέτεισι τὴν μητέρα, τὴν ἀλωπεκῆν ἐνδυσάμενος, τὴν γλῶσσαν ὅλην πρὸς ἄλλο σχῆμα μεταμειψάμενος. ἐπαινεῖ τὸν γάμον, καὶ τὸν νυμφίον καθυποκρίνεται, καὶ δοῦλος ὅλος γίνεται τῇ μητρὶ, καὶ γλώσσῃ, καὶ σχήματι, καὶ ζητεῖ μὲ τὴν θυγατέρα πρὸς γάμον, ἀλλ' ἔννομον, νόμου μεμνημένος, ὁ τὰ πάντα παράνομος. ἐπεὶ δ' οὐκ εἶχε πείθειν μητέρα φιλόπαιδα, τέκνῳ δὴ τοῦ πρὸς γάμον ἑτοίμου θορυβουμένην τὰ μάλιστα, μὴ καὶ προτέραν ἠγάγετο λέγουσαν, ὁ τοῖς ἔρωσιν οὕτω πειθόμενος, καὶ πᾶσιν ἀνέμοις ἐρω-

debellaret. Poſtquam verò experimento didicerat, hæc haud ſatis eſſe, pudicitiæ turrim vt proſternerent, pelle vulpina indutus, totamque linguam in aliam formam immutans, Matrem adit: laudes nuptiarũ proſequitur, ſponſumque ſimulat, captiuumq; planè Matri ſe meę & lingua, & imagine profitetur, poſcitque ad connubia, ſed legitima, filiam, legis memoriam prætendens, omnium exlex, atque iniquiſſimus. Cùm verò teneræ, ac filiæ amanti Matri ſuadere non poſſet, quæ tam facili illius in nuptias propenſione, quàm maximè turbabatur, ne & aliam antea duxiſſet, qui amoribus adeò duceretur, flatibuſque omnibus amatorijs

τικοῖς ῥιπιζόμενος, μαρτύρεται Θεὸν, μαρτύρεται Δίκην, μαρτύρεται Μάρτυρας αὐτοὺς ἐκείνους, τοὺς ἐν Ἐδέσσῃ παθόντας ἕνεκα Χριστοῦ, καὶ τὸν καλῆς ὁμολογίας ἀναδησαμένους τὸν στέφανον. ἡ δέγε μήτηρ, τί δ' ἄλλο πάντως ἢ μήτηρ, καὶ κηδομένη τῆς θυγατρὸς, τοῖς ὅρκοις πιστεύει τοῦ μηδὲν εὐορκήσαντος. πείθεται τοῖς λόγοις τοῦ καὶ Θεὸν αὐτὸν παρ' οὐδὲν τιθεμένου παραλογώτερον. καὶ τῷ παρανομωτάτῳ Γότθῳ νόμῳ γάμου με παραδίδωσιν. ἕως μὲν οὖν ἡ πατρὶς ἐκυμαίνετο, τὰ περὶ τὴν ἐμὴν οἰκίαν ἦσαν ἀκύμαντα. ἕως τὰ περὶ τὴν Ἔδεσσαν ἐκλονεῖτο, ἀπερικλόνητά μοι τὰ περὶ τὸν ἄνδρα διατετήρηται· ἕως τὸ συμμαχικὸν ἐ-

torijs agitabatur; Deũ ille dat teſtem, Iuſtitiam, Martyreſque eos, qui Edeſſæ propter Chriſtum paſſi fuerant, perpulchramque ſuæ confeſſionis coronam conſecuti ſunt, in teſtimonium aduocat. Mater interim, (quid enim aliud quâm Mater, curamque filię gerens?) fidẽ iurijurando eius, qui nunquam ſanctè iurauerat, præſtat; verbis illius ſuadetur, qui Deum ipſum magis impiè contemnens, è pectore dimouerat ſuo; atq; iniquiſſimo Gottho in matrimonium collocat. Vſque dum itaque Patria fluctuabat, res meæ domeſticæ tranquillæ erant: vſque dum Edeſſa concutiebatur, ſtudia mariti ab omni concitatione vacabant: vſque

τήρει τὴν πόλιν, ἀνόθευτά μοι τὰ τῆς στοργῆς ἐφυλάττετο, καὶ ἦν ὁ Γότθος ἀνὴρ τὰ πάντα φιλόστοργος, καί μοι τὰ πάντα γενόμενος, ὅσα καὶ πρὸς γυναῖκα γένοιτ' ἂν ἀνὴρ ἀγαθός. ἐπεὶ δ' ὁ κλύδων τῆς πόλεως νηνεμίαν ἔσχεν, καὶ κατεκοιμήθη τὰ κύματα, κατ' ἐμῆς αὐτῆς ὅλον μετεφέρετο τὸ κλυδώνιον, καὶ ἀγριοῦται τῶν δυστυχημάτων ἡ θάλασσα, καὶ κύματα τῶν πειρασμῶν ἀλλεπάλληλα. καὶ τῆς ἐλευθερίας δουλείαν ἀλλάσσομαι, καὶ θεράπαινις ἀνθ' ὁμοζύγου, καὶ ἀντὶ δεσποίνης αἰχμάλωτος γίνομαι. ὢ πικρᾶς ταύτης μεταβολῆς, ἣν καινῶς μεταβέβλημαι. ὢ

vſque dum auxiliares copiæ vrbem tutabātur, amoris pabula ſancta, inuiolataque cuſtodiebantur : & Gotthus mihi coniugio iunctus, in amicitiam mecum ſe ſe inſinuans, in omnibus commodè amore vtebatur, mihi omnia factus, & in id omne, quod in re vxoria concupiſcimus, maximè probus, ac circumſpectus. Cùm verò poſtmodum Vrbs vim tempeſtatis effugit, ſæuique fluctus conſidentes elanguerunt, in memetipſam ſubitò tēpeſtas cooritur, & infortuniorum mare efferatur, & fluctus varij, ac crebi inſaniunt, & libera ſeruitute opprimor, &, pro coniuge, pediſſequa, proque domina, captiua euado. O' amaram viciſſitudinem, qua nunc recens immu-

mu-

πικρῶν ἐκείνων γάμων. ὦ συναλλαγμάτων ἐκ δυστυχῶν. ἔλαθες ὦ μῆτερ ἀντὶ γαμηλίων συμβολαιογραφοῦσα πράτορα. ἔλαθες ἀργυρολογήσασθαι τὴν θυγατέρα, ἀνθ' ὧν ἐδόκεις νυμφοστολήσασθαι. ἔλαθες τὸν ὑμέναιον ᾄδουσα, τὸν ἐξιτήριον τραγῳδήσασα. οὐκ ἀνὴρ ὁ Γότθος, ἀλλὰ δεσπότης, καὶ σὺν δεσποίνῃ λαμπρῶς ἀνακέκλιται. ἐγὼ δὲ δούλη παρίσταμαι, καὶ θεραπαινὶς, ἡ πρὶν ἐλευθέρα, καὶ δέσποινα. ὦ τῆς ἐμῆς δυστυχίας. ὦ τῆς σῆς ἀβουλίας. ὦ τῆς ἐμῆς ταύτης πλάνης περὶ τὸν ἄνδρα. ὦ τῆς σῆς ἐκείνης ἀπάτης, ἣν ἐξηπάτησαι. ὄγκωται μοι τὰ τῆς γαστρὸς, καὶ συνογκοῦται μοι τὸ τῆς δεσποίνης ζηλότυπον. ἐπανθεῖ μου τοῦ προσώπου τὸ κάλλος, ἥπου μοι

mutor! ò amaras illas nuptias! ò conditiones infortunatas! decepta es Mater, emptorem mihi pro marito paciſcens. cùm velles nuptum dare filiam, imprudẽs eam vendidiſti. cùmque funebria decantares, hymenæum canere opinabaris. Non eſt maritus Gotthus, ſed dominus, & cum Domina ſplẽdidè cubat: ego verò ſerua imperijs ſeruio: & pediſſequa ſum, quæ priùs fueram libera, & domina. ò me infortunatam! ò te imprudentem! ò meum hunc circa maritũ errorem! ò tuam illam, qua deluſa es, captionem! Venter mihi intumeſcit, vnàque Dominæ æmulatio inmemet inflatur. floret in fa-

τὸ πᾶν κατεμαράνθη τοῖς δυστυχήμασι, καὶ τὸν θυμὸν ἡ δεσπότις ἐμφαίνει τῷ βλέμματι. ἐρύθημά τι τῆς παρειᾶς ὀλίγον ἐναπολέλειπται, καὶ ὅλη κάμινος φθόνου περὶ μέσην αὐτὴν ἐκείνης ἐξῆπται ψυχήν. καιρὸς ὠδίνων, καὶ τοκετοῦ. καὶ τίκτει σοι μῆτερ ἡ παῖς, ὦ πικρᾶς ταύτης φωνῆς, κατὰ δούλην αἰχμάλωτον. καὶ τὸ ζηλότυπον ἐγκυμονούμενον τῇ δεσποίνῃ γεννᾶται πρὸς ὅλην ἀντιπαράταξιν, καὶ κατὰ τοῦ παιδὸς ὁπλίζεται γενναιότατα, συμμάχῳ τῷ δόλῳ χρησάμενον. ἡ δεσπότις ὑποκλέπτει τὴν δούλην, καὶ θανατοῖ τὸν παῖδα μηδὲν ἀδικήσαντα. τοῖς χείλεσι τοῦ βρέφους, ὦ τῶν ἐμῶν ἐκείνων κενῶν

in facie pulchritudo, ſi modò venuſtas omnis hinc infortunijs extincta non abijt, & rabiem Domina vultu non effundit: rubore,ſed eo modico, genæ ſuffunduntur, & integra inuidentiæ fornax in medio illius corde ſuccenditur. adſunt dolores, & propinqua paritudo appetit, & parit tibi Filia, ò Mater, ò amaram hanc vocem! veluti ſerua, & captiua: tum æmulatio, quæ iam fouebatur in Domina, vnà ſimul ad iniquè oppugnādum egeritur; & quàm robuſtiſſimè fraudis opem in auxilium adſciſcens, in fœtum armatur. Seruam Domina fallens, puerum; nulli iniuriæ obnoxium interimit, labijs infantuli, (ò meos illos fruſtra ſuſceptos

ὠδίνων, ἐγχύσασα δηλητήριον. ὦ βρέφος μηδὲν ἀδικῆσαν, καὶ θανὸν ἀδικώτατα. ὦ νήπιον μηδὲν κακουργῆσαν, καὶ κακουργηθὲν δολιώτατα. καὶ μέχρι τοῦ σοῦ θανάτου τέκνον παρανομούμεθα. ὦ τῶν ἐμῶν δυστυχῶν τούτων σπλάγχνων, ἅ σε πρὸς φῶς ἀθλίως ἐξεώσεκαν. ὦ τῶν ἐμῶν ἐλεεινῶν τούτων χειρῶν, αἵ σε φέρουσι νεκρὸν ἀδικούμενον. ἐκτέτηκα τοῖς δάκρυσι, καὶ τοῖς ὀδυρμοῖς. τοῖς στεναγμοῖς ἀπεῖπα, καὶ τοῖς ἀλγήμασι, καὶ ἐν ῥισὶν ἡ ἀναπνοή μοι ἐστὶ. δέδοικα μὴ καὶ αὐτὴν φυσήσω ψυχήν. μὴ φύγοις Γότθε δίκην αὐτήν. μὴ παραδράμοις ὀργὴν παραθεωρουμένου Θεοῦ. αὐ- [illegible]

labores!) veneno ádfuſo. ò puerulum nulli vſpiam iniuriùm, & quàm iniuſtiſſimè interemptum! ò infantem, nulli incommoda molitum; & malis perquàm ſubdolè affectum! ad necem vſque tuam; ò puer, iniquè, & contra ius premimur. ò mea hæc viſcera infelicia, quæ te in lucem miſerè ediderunt! ò meas haſce infortunatas manus, quæ te iniuſtè peremptum ſuſtulerunt! lacrymis contabui, eiulatibus, ſuſpirijs, ac perturbationibus laſſata; & in naribus mihi ſpiritus reliquus eſt. vereor ne & ipſam animam efflem. Nuſquam tibi, Gotthe, ab ipſa iuſtitia perfugium pateat; vindicem & vltricem contempti Numinis iram impunè ne euadas. Martyrum

Tem-

τι παρὰ θου με τὴν σηκῷ τῶν Μαρτύρων, ὅθεν παρέλαβες. εἰ δ' οὖν ἐγὼ θαῤῥήσω τοῖς Μάρτυσι, καὶ τὴν δίκην ἐνδυσαμένη, καὶ θωρακισαμένη τοῖς ὅρκοις, οἷς πολλοῖς ἐκείνοις, τῆς ἀνοχῆς σου Χριστὲ βασιλεῦ, ἡμᾶς ἐξηπάτησας, ἀνδρίζομαι πρὸς τὴν ἄμυναν. ᾧ βέβλημαι βέλει, τούτῳ τὸν ἐχθρὸν ἀνταμυνοῦμαι. κἂν χρήσωμαι βοηθῷ τῷ νηπίῳ πρὸ τῆς ὥρας κειμένῳ, οὐχὶ καὶ βέλη νηπίων λογισθήσονταί μοι τὰ μηχανήματα, ὅτι συνεργοὺς ἔχω τοὺς Μάρτυρας, οἷς βέλη νηπίων ἐλογίσθησαν αἱ πληγαὶ, ὅσας πολλὰς ἐκείνας ἕνεκα τῆς εὐσεβείας ἐπλήγησαν καθ' ὅλου τοῦ σώματος.

Templo; vnde excepiſti, me redde. Sin minùs, ipſa ſpem omnem ad Martyres cōferens, & iuſtitia induta, & iureiurando, quo nos tam variè, ac malitioſè, (ô Chriſti regis tolerantiam!) fraudibus circumuenisti, veluti thorace præmunita, ad vltionē viriliter accingar. Qua ego ſagitta petita ſum, eadē aduerſariū vlciſcar. & quamquam in auxilium infantulum aduocabo, ante tempus interemptum; nuſquam infantulorū ſagittæ machinæ meæ exiſtimabuntur; cùm auxiliantes habeam Martyres, qui ſagittas infantium reputarunt ictus, quibus illi, pietatis ergo, variè, ac multimoda arte corpora vniuerſa diſſoluebantur.

Τίνας ἂν εἴποι λόγους Κηπωρὸς ἐπιμελούμενος κήπου, καὶ μεταφυτευσάμενος, καὶ Κυπάριττον ἐπ' ἐλπίδι καρπῶν, καὶ τῶν ἐλπίδων ἀστοχήσας. ζ΄.

Olitoris verba, qui cùm diligentiùs operam daret hortulo, Cupreſſum, vberem inde fructum expectans, tranſtulit; ſpe, quam inde animo conceperat, fruſtratus. 7.

Ὦ Κενῶν ἐκείνων πολλῶν ἐλπίδων, αἷς ἠνδραπόδισμαι· ὦ πόνων πολλῶν ἐκείνων ἀκαίρων, οὓς ἐκπεπόνηκα· τὸν Ἀλκινόου κῆπον ἐκπεφυτευσάμην αὐτός· καὶ ἦν μοι παρὰ τῷ κήπῳ, καὶ φυτά, καὶ δένδρα, καὶ ἄνθεα· καὶ χάριτες ἠρέμα πως ὑπέτρεχον τὰ φυτά, καὶ τοῖς ἄνθεσιν ὑπεχόρευον, καὶ ἐπὶ πᾶσι κερδῷος Ἑρμῆς, πόνους ἀμειβόμενος φυτουργοῦ· ἦν ἐκεῖ παρὰ τῷ λειμῶνι Μηλέα πο-

O'Inanes illas, multasque, quibus ipſe diſtinebar, expectationes! ò immenſos, atque importunos, quos exantlaui, labores! hortum mihi Alcinoi plantaueram; ex eo mihi & plantæ, & arbores, & flores abundè ſuggerebantur: Gratiæ plantis leniter ſubrepebant, vnàque ſubſultabant cum floribus; & ante omnia lucrificus Mercurius, plantatoris ſudores compenſans, quæſtu auctabat. Suſtollebat ſe Malus in agro, vberibus fructibus grauis,

λύκαρπος. εἶπεν ἂν Ὅμηρος ταύτην ἰδὼν Ἀγλαόκαρπον. καὶ ἥρπαζέ μου τοὺς ὀφθαλμοὺς, ὅτι καλὸν τὸ μῆλον. εὐπρόσωπον τὸ μῆλον. ἡδὺ τὸ μῆλον ἰδεῖν. ἡδὺ τὸ μῆλον φαγεῖν. ἡδὺ τὸ μῆλον ὀσφρήσασθαι. πάντα καλὸν τὸ μῆλον, καὶ ἡδὺ, καὶ φαγεῖν, καὶ ὀσφρήσασθαι. χάριεν ὑποπνεῖ, καὶ ὅλον ἐρωτικόν. τὸν φυτουργὸν ὀλβιοῖ, πολλοῦ ζητηθὲν, καὶ πριάμενον. εἴποις ἂν ἰδὼν ἐν εἰκόνι γεγραμμένην Μηλέαν ὁρᾶν, καὶ παρὰ τοῖς κλάδοις γεγράφθαι τοὺς Ἔρωτας, μῆλα τρυγῶντας, καὶ παίζοντας. οὕτω καλὸν τὸ μῆλον, ὡς καὶ τρυγητὰς ἔχειν Ἔρωτας. ἐκείνην Μηλέαν ἰδὼν, εἶδες ἂν καὶ Πάριν κριτὴν, καὶ Θεὰς περὶ κάλλους φιλο-

uis, quam intuitus Homerus nuncupaſſet, Aglaocarpon: raptabatq; mihi oculos pulchrũ Malum, decorum aſpectu Malum, viſu ſuaue Malum, guſtu ſuaue Malum, odoratu ſuaue Malum, in omnibus formoſum Malum, & viſu, & guſtu, & odoratu. Gratias ſpirat, totumque nobis Cupidinem inſtillat, & multo quæſitum pretio, ac diuenditum ſatorem beat. Eam intuitus diceres malum arborem in tabula depictã aſpicere, & inter ramos Amores ludibũdos mala decerpere: quæ adeò pulchra ſunt, vt Amores habeãt meſſores. Arbore conſpecta ſimul vnà vidiſſes, & Paridem iudicem, & Deas de-

 pul-

νεικέσας, καὶ μῆλον Ἀφροδίτῃ διδόμενον, καὶ τῷ δικαστῇ τὰς ἀμοιβὰς φιλοτίμως ἀντιμετρούμενον. Συκαῖ περὶ τὸν κῆπον ἦσαν γλυκύκαρποι, καὶ τοὺς καρποὺς μελισσῶνας εἶχον. τὸ γάρ τοι σῦκον κεχηνὸς ἀπέῤῥει τοῦ μέλιτος, καὶ μονονοὺ προσεμειδία τὸν θεατήν. ὁ δέ τις ὠνούμενος τὰς ὀπώρας εἶδε τὸ σῦκον, ὠνήσατο, τῆς εὐτυχίας μακαρίσας τὸν φυτουργόν. καὶ Μῆλον περσικὸν ἐκηπευσάμην παρὰ τῷ κήπῳ μου. καὶ ἦν τὸ μῆλον ὑπόχνοον, καὶ ὅλην τὴν παρειὰν κατὰ παρθένον ἐρυθραινόμενον, καὶ παραμείρει τὸ μῆλον ὑπόκιῤῥον. κἂν τὸν καιρὸν προσδράμοι, καὶ προφθάσειε τὴν ὀπώραν, ζητητέον τὸ μῆλον, οὐκ

pulchritudine certãtes, & malum Veneri exhibitũ, iudicemq; effuſè, magnificèque compenſans. Ficus itẽ habet hortus ſuauiſsimis fructibus; fructus illos apiaria non incongruè dixeris: ficus ſiquidem dehiſcens, veluti expreſſis fauis liquatur, & tantùm non erga ſpectatores riſum edit. Qui verò fructus præſtinatũ abit, adſpicit, commercatur, cultoremque arboris ob id ipſum fortunatũ acclamat. Malum quoque perſicum in horto plantaueram, malum ſuperflorebat lanugine obſitum, & virginis inſtar genas rubens, nonnullaque in parte rufulum: id ſiue tempus præiuerit, anteque alios fructus feſtinata maturitate

pro-

ὀλίγου τὸ φυτουργὸν ἀμειβόμενον. κἂν μετὰ τὴν ὀπώραν βραδυπορήσῃ, ἀργυρίων ἐπριάμην τὸ μῆλον, καὶ τῶν πόνων ἀπονάμην τὰς ἀμοιβὰς πολυχρημόνας. ἤνθει τὸ Ῥόδον, καὶ σὺν αὐτῷ δὴ τοῦ χρηματισμοῦ καθηδυνόμην καὶ ὄψιν, καὶ ὄσφρησιν. οὐ διακενῆς μοι τὰ τῶν ἱδρώτων, κἂν περὶ Κρίνα τούτους κεκένωκα, κἂν περὶ δὴ τὴν Ἰωνιάν, κἂν περὶ δὴ τὴν Ἀναδενδράδα, κἂν περὶ Νάρκισσον· εἰ καὶ Μαλάχην ἐφυτηκόμησα, ἢ Ἀσφόδελον ἐκηπευσάμην, κἂν Θριδακίνην, καὶ εἴ τι τούτων ἐλάχιστον, ἀπωνάμην τῶν ἱδρώτων ἀργυρολογούμενος. δίκελλαν εἶχον, καὶ τὴν ἀμάραν ἀνώρυττον, καὶ ὕδατος

prouenerit, valde ab alijs ambitum, magnificè cultorem remunerat; ſiue tardiùs alijs fructibus acceſſerit, multis nummis malo diuendito, venditio feliciter euenit, & plurimis; maximiſq; muneribus ſudores meos vniuerſos affecit. Florebat Roſa, vnàque cum quæſtu, & viſu, & odoratu oblectabar. Nulli mihi labores inutiles, ſiue eos ad Liliorum, ſiue ad Violarum culturam inſumerem, ſiue etiam Arbuſta, ſiue Narciſſum, aut Maluam colerem, ſiue Aſphodelum ſererẽ, ſiue Lactucam, ſiue quid aliud ex deſpectioribus, ſatis ex meis laboribus, argentum corrogans, commodi capiebam. Ligonem habebam, ſulcos effodiebam, & aquam in plantas cor-

μεταδιδοὺς τοῖς φυτοῖς, χρυσᾶς τινας ἀντεφιλοτιμουμένην τὰς ἀμοιβὰς, καὶ Πακτωλὸν ἐδόκουν μετοχετεύειν τῷ κήπῳ μου· ὅτι μοι τὰ τῶν πόνων ἐπικερδέστατα. ἐπεὶ δὲ τὰ τῶν ὀφθαλμῶν περιλιχνεύεται τὰ πολλὰ, καὶ φιλοκερδεστέρα προαίρεσις τὰ μὴ παρόντα ζητεῖ, καὶ τῶν ὄντων ἡγεῖται κρείττω τὰ προσδοκώμενα, εἶδον καὶ Κυπάριττον εὐθαλῆ, καὶ μετεκηπευσάμην ταύτην τῷ κήπῳ μου. καὶ περὶ μίαν ἄμαραν τὸ ὕδωρ συναγαγὼν μετήγαγον παρὰ τὴν Κυπάριττον, μεταφυτευσάμενος τὸ φυτὸν παρὰ τῇ διεξόδῳ τοῦ ὕδατος. καὶ χοῦν ἐπέβαλλον τῷ φυτῷ, καὶ πασσάλοις περιεκύκλωσα, καὶ λύγοις τοὺς πασσάλους ἐστεφάνωσα, ἐπιμελούμενος τοῦ φυτοῦ καὶ φυλακῇ, καὶ ὕδατι,

riuanti, aureæ inde profluebant remunerationes: mihiq; videbar Pactolum in hortum deriuare meum, quòd induſtriæ meæ maximos ferrē fructus. Cùm verò oculi multa auidiùs conquirant, propenſiora ad lucrum ſtudia inueſtigēt, abſentia & præſentibus potiora, quæ expectantur, ducunt, vidi ipſe Cupreſſum latè virentem, eamque in hortulum trāſtuli, & ſulcum in vnum aquā vniuerſam corriuans, in Cupreſſum in decurſu aquarum ſitum, conuexeram: inde terram plantæ aggeſſi, paxillis circumdedi, paxilloſque viminibus colligaui, induſtriam meam in culturam plantæ, & cuſtodia,

καὶ χοῖ, ὅλους ὀφθαλμοὺς, ὅλην καρδίαν, ὅλην αὐτὴν μου ψυχὴν περὶ μόνην ταύτην μεταγαγὼν τὴν Κυπάριττον, κενάς τινας ἐλπίδας τῶν ἐν χερσὶ προτιμώμενος. Ζέφυρος ἡδὺς ἠρέμα πως ὑπέπνει τῷ ἔαρι, καὶ ἡ Κυπάριττος ἐδόκει βλακεύειν καθάπερ τινὰ παρθένον σεσοβημένην ἐξ ἔρωτος. ὥραιον τοῦ φυτοῦ τὴν ἀναβολὴν. κεχηνὼς εἱστήκειν ὁρῶν ἀτενῶς, καὶ ἦν ἐραστὴς ὁ γηπόνος, καὶ ὁ φυτουργὸς αἰχμάλωτος τοῦ φυτοῦ. ἔαρος καιρὸς, καὶ διηρεθίζετο τὰ φυτὰ, καὶ κατηνθίζετο, καὶ Κυπάριττος. παρῆλθεν ἔαρ, καὶ εἰς καρποὺς ἐτράπη τὰ ἄνθεα, καὶ τὸ ἄλλο μὲν ἐκαρποφόρησε τῶν φυτῶν.

ſtodia, & in aqua, & terra collocans; & omnes oculos, totum cor, integrumq; hunc meum animum deducens in hanc ſolam Cupreſsũ; inani quadam ſpe, ijs, quæ præ manibus erant, præpoſita. Dulcis Fauonius vere ſenſim ſpirabat, & Cupreſſus, veluti virgo præ nimio amore conſternata; ac impotens, videbatur in delicijs vitam agere. plantæ proceritatem oculis vſurpabã; hianti ore, enixè ipſam intuens adſtabam; & agricola, ſatorq; erat amator, plantæ mancipium. Veris tempus aduenerat, & inter turgentes plantas Cupreſſus etiam ipſa floreſcebat. Abijt ver, floreſque in fructus concreuere, cæteræque aliæ plantæ fructus edidere, Cupreſ-

ἡ δὲ καλὴ Κυπάριττος
ἀπηνθίσατο· χειμῶνος
καιρὸς, καὶ φυλλοροεῖ τὰ
φυτὰ, καὶ τὸν κόσμον ὅλον
παντελῶς ἀποβάλλεται·
καὶ κατὰ κόμην τὴν ἐκ τῶν φύλ-
λων ἀποκείρεται βόστρυ-
χον· ἀλλ' ἡ Κυπάριττος
βοστρυχοῦσα καὶ μέσῳ δὴ
χειμῶνι τέθηλεν ἀμετά-
βλητα· κἂν ἔαρ, ἡ Κυ-
πάριττος εὐθαλής· κἂν
θέρος, ἡ Κυπάριττος τέ-
θηλε. χειμών, καὶ φθίνουσι
τὰ φυτὰ, καὶ οἷον νεκροῦται
τῷ ψύχει βαλλόμενα.
ἡ δὲ Κυπάριττος, πάλιν
Κυπάριττος, καὶ ὅλον ἔαρ
ἐνζωγραφεῖ καὶ φύλλοις,
καὶ τοῖς ἄλλοις ἀναβλα-
στήμασιν. ἔχαιρον ὁρῶν
τὸ φυτὸν· ὥρων ὑψίκο-
μον τὸ φυτὸν. ὥρων ἀ-
νατρέχον εἰς οὐρανὸν, καὶ
τὸν καρπὸν ἐκαραδό-

ſus verò pulchra defloruit. Adeſt hyems, & plantę folia deperdunt, decoremque ſuum omnem penitus abijciunt, & comam veluti ex folijs cæſariem demittunt. Verùm Cupreſſus cęſarie nobilis media etiã hyeme, ſemper eadem ac ſui-ſimilis viret. Licet ver occupet, Cupreſſus ſemper germinat; Licet æſtas horreat, Cupreſſus vbertim frõdeſcit: hyems irruit, & plantæ tabeſcunt, & frigore veluti ictæ commoriuntur; verùm Cupreſſus, rurſus Cupreſſus eſt, & folijs, ac reliquis ſurculis integrũ nobis ver repræſentat. Eam conſpiciens mihi ipſe gaudebam, alticomam arborem conſiderabam, eam ad cœlum procurrentem videbam, fructumque mihi

hi

κεν τὸ οὕτω πολλῶν χα-
ρίτων ἐπάξιον. τὰ δ'
ἦσαν ἐλπίδες κεναὶ, καὶ
ἄντικρυς ὄνειροι, καὶ νῦν
κατὰ τὴν παροιμίαν ἄν-
θρακας εὑρίσκω τοὺς θη-
σαυροὺς, καὶ τῶν ὑπὲρ τῆς
Κυπαρίττου μόχθων καρ-
ποὺς καρποῦμαι τὰ δά-
κρυα, καὶ τῷ Προμηθεῖ
μὴ σπεισάμενος, νῦν ὅ-
λῳ συνανακέκραμαι τῷ
Ἐπιμηθεῖ. ὅλον τὸ ὕδωρ
διεποτίζετο τὴν Κυπά-
ριττον. τὰ δ' ἄλλα τῶν
φυτῶν ἀπεψύγη τῷ δί-
ψει, καὶ τέθνηκε μονονου-
χὶ καὶ ἀδικίας ἐγκα-
λοῦντα τὸν φυτουργὸν, ὅτι
μὴ φυτουργεῖται κατὰ τὴν
ἄκαρπον ταύτην Κυπά-
ριττον. ἐγὼ δὲ ἄρα τῷ
εὐθαλεῖ πεπλάνημαι τοῦ
φυτοῦ. τῷ εὐσταλεῖ τὴν
ὄψιν σεσύλημαι. τῷ
οὕτως ἰθυτενεῖ κενὰς ἐλ-
πίδας ἀπεθησαύρισα, καὶ

hi expectabam tot
tantiſque gratijs pa-
rem. ſed inanis erat
expectatio illa, & pla-
nè inſomnium; verè-
que nunc, vt prouer-
bio fertur, Carbones
Theſaurum inueni: la-
borumque, quos in
Cupreſſum impendi,
fructus colligo lacry-
mas, & cùm fœdus
cum Prometheo non
icerim, nunc cum
Epimetheo confun-
dor. Aqua vniuerſa
dum Cupreſſui po-
tum porrigebat, reli-
quæ plantæ ſiti refri-
guerunt, & tantùm
non tabidæ cultorem
iniuſtitiæ accuſant;
quòd eæ quoque, vt
infrugifera hæc Cu-
preſſus, non fouean-
tur. Ego verò virenti
arboris nimiùm fidés
aberraui, ornatu ocu-
lis ſpolior, tanta proceritate inaniter ſpem

enu-

νῦν ἐκτέτηκα τοῖς ὀφθαλμοῖς χαρισάμενος. εἰ γοῦν καὶ τοὺς συνηθεστέρους τῶν ἁλιέων καὶ φυτουργὸς νοῦν οἴσει πληγείς. μετοχετεύσω τὸ ὕδωρ ἐπὶ τὰ λάχανα. ἐπιμελήσομαι τῶν φυτῶν. ἀνακαθάρω τοὺς ὀχετούς. δενδροκομήσω τὰ νοσήσαντα τῶν φυτῶν, χαίρειν εἰπὼν τῇ Κυπαρίττῳ, καὶ ταῖς ταύτης ἀναβολαῖς. κἂν τὸ ἰθυτενὲς προβάλληται, κἂν τὸ εὐσταλές, ἀντιπαραθήσω ταύτης τὸ ἄκαρπον, γνωμολογούμενος προσφορώτατα, ὡς οὐδενὸς λόγου πριαίμην βροτόν, ὅστις κεναῖς ἐλπίσι θερμαίνεται.

enutriui, & nunc, nimiùm oculis cōplacitus, contabui. Mox igitur, vt aliàs imprudentes piſcatores ſolent, poſt damna agricola ſapiat. ad olera aquam corriuabo, plantarum curam gerā, expurgabo aquæductus, arborum laborantibus occurrā; Cupreſſu, illiusq; mora ſaluere iuſſa: & licet mihi ſe rectam prætendat, licet benè ornatam, illam ego vt infrugiferā criminabor, ſententias non incōmodè profatus, Nullo me etiam viliſſimo pretio hominē mercaturum, qui inanibus expectationibus incaleſcit.

ΣΕΒΗΡΟΥ ΣΟΦΙΣΤΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

Ἠθοποιΐαι.

SEVERI SOPHISTÆ

ALEXANDRINI

Æthopœiæ.

LEONE ALLATIO INTERPRETE.

Τίνας ἂν εἴπε λόγους, ἀκούσας Ἀχιλλεὺς τὸν Πύῤῥον πορθήσαντα τὴν Τροίαν. α΄.

Εὖγε τῆς φύσεως. οὐ γὰρ ἤμβλυνε Πύῤῥος τοῦ τεκόντος τὴν εὔκλειαν, μᾶλλον δὲ καὶ ταύτην παρέδραμε. τὴν ἐμὴν γονὴν διὰ τῶν πράξεων ἐπεσφράγισεν. ἠρνήσατο δὲ τάχα, παῖδα τοῖς ἔργοις ἀποδείξας τὸν

Quid eloquutus fuerit Achilles, cùm direptam Troiā à Pyrrho ad illius aures accidiſſet. I.

EVge pol indolem! Parentis etenim latè diffuſam gloriam, haud minuit, quinimmo eam lōgè multùmq; ſuperauit. Rebus ipſe geſtis, atque operibus ſtirpem meam ſigillo veluti obſignauit; an verò fortaſſe abiurauit, dum ſuis facinoribus pue-

φύσαντα. ἐμαχόμην καλῶς, καὶ βαρβάρων πλῆθος ἀπώλεσα. μετέβαλλον Ξάνθου τὰ ῥεύματα, καὶ διὰ τοῦ φόνου ἐρυθρὸν παρεσκεύαζον. δραπέτας τοὺς ἐχθροὺς ἐποίουν ἑκάστοτε, καὶ τοῖς τείχεσιν ἐναπέκλειον. ἀλλ' ἕως τούτων ὑπῆρχεν ἡ δύναμις. μετὰ γὰρ τὸ τεῖχος ἡσύχαζον, καὶ περαιτέρω τὶ πράττειν οὐκ ἴσχυον. ὁ δέ γε παῖς ἐμὸς, καὶ τειχῶν κατεφρόνησε, καὶ τὴν πόλιν ἔσχεν εἰς τρόπαιον. ἀνῃρέθην μὲν ὑπ' ἐχθρῶν, καὶ πάλιν τοὺς ἐχθροὺς διὰ τοῦ παιδὸς ἀνῃρήκαμεν. οὐκέτι Πύῤῥε δακρύω τὸν θάνατον, ἔκδικόν σε τὸν αὐτὸν, καὶ παῖδα κτησάμενος. εἰ γὰρ καὶ παρὰ τὸν Αἴδην εἴσε-

puerũ genitorẽ oſtendit? Bellaui proſperè, barbarorum copias funditus ſuſtuli, aquas immutaui Xanthi; cędibusque rubidus vt flueret feceram. hoſtes ſingulis diebus in fugam vertebam, intraque mœnia obſerabam. Veruntamen ad ea tantùm mea ſe facultas extendebat; nanque illis in mœnia reiectis, poſtmodũ ipſe ab omni concitatione vacabam, nec quicquam poteram vlteriùs perficere: At ex me ſatus deſpectis mœnibus, vrbem ipſe ſibi trophæum cõſtituit. cecidimus ab hoſtibus, rurſumq; nos hoſtes per filium cęcidimus Non vltra, Pyrrhe, mortem deploro, cùm te filium, vindicemque habeam ſimul. licet enim ego in inferna appulerim loca, eſt tamen

γόνεν ἐγὼ, ἀλλὰ καὶ παρὰ σοὶ μετὰ τῶν βαρβάρων τὸ Ἴλιον.

tamen penes tuam dexteram vnà cùm barbaris Ilium.

Τίνας ἂν εἴποι λόγους Μενέλαος, τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἁρπάσαντος. β.

Quæ verba effatus ſit Menelaus, raptâ ab Alexandro Helena. 2.

ΟἼμοι τῶν συμφορῶν. ἠτυχήσαμεν εὐσεβήσαντες, καὶ ξένον ἀποδεξάμενοι, ξένοι τῶν οἰκείων γεγόναμεν: βαρβαρικὸν μὲν πάθος πρότερον μεμάθηκα, ὧν εὖ πάσχοντες τοὺς εὖ ποιοῦντας ἀμύνονται, συμφορὰς μᾶλλον αὐτοῖς ἀποδιδόντες; οὐ χάριτας. Ἀλέξανδρος ἧκε πεπλανημένος. ἠλέουν τοῦτον ὡς ξένον, τὸ, πόρρω τῆς πατρίδος εἶναι τινὰ, μεγίστην συμφορὰν λογιζόμενος. ἔνδον ἐν τοῖς

O'Me miſerum! ò calamitoſũ! quòd pietatem coluerim, infortunijs opprimor. & aberrantem excipiens, à meis ipſe miſer aberro. Barbarorum mihi ingenia, ſed poſtquam malo edidici meo, innotuere; quorum qui benè accipiuntur, ſuos ij benefactores, calamitates illis potiùs, quàm gratias referentes, vlciſcuntur. Acceſſit Alexander palans, ac erro; eius veluti aduenæ miſericordia motus ſum; inter maxima infortunia collocans, à Patria longè

eſſe;

οἴκοις ἐλάμβανον, ἐπικουφίζειν ἐθέλων τοῦ δυστυχήματος. ὁ δὲ, ὥσπερ τοὐναντίον παρ' ὑμῶν ἀδικούμενος, μισθὸν τῆς φιλοξενίας ἀποδέδωκε δάκρυα. κενὰ μὲν γὰρ χρημάτων τὰ οἴκαδε· χηρεύειν δὲ τῆς συνοίκου τὸν εὐεργετήσαντα παρεσκεύασε, καὶ ὡς ἔοικεν μνηστὴρ ὑπῆρχεν, οὐ ξένος ὁ βάρβαρος. κἀγὼ τῇ συνοίκῳ μοιχὸν ἔτρεφον ἀγνοούμενον. οὐχ ἡμᾶς μόνον ἠδίκησας ἄνθρωπε, πάντας δὲ μᾶλλον, ὅσοι τῆς αὐτῶν πατρίδος στερίζονται. τίς γὰρ μεθ' ἡμᾶς ὑποδέξεται ξένον; τίς ἐλεεῖν δυστυχοῦντας ἀνέξεται, πρόδηλον ἔχων ἐκ τῆς εὐσεβείας τὸν κίνδυνον; τίς οἰκτείρειν ἐθελήσει πενόμενον, ἵνα

eſſe; vtque ſubleuarem calamitatem in proprias illum ædes excipio. Ipſe, ac ſi iniuria affectus fuiſſet, pro mercede hoſpitij lacrymas reddidit: argento, quantum aderat ædibus, ſpoliatus ſum, & benefactor illius technis vxore viduor; vtque conijcio, Barbarus ille procus erat, non hoſpes: adeòque ipſe vnà cum coniuge, quem non cognoueram, mœchum alebam. Non in nos ſolùm iniuriã homo fecit; ſed potiùs in eos omnes, qui patria priuabuntur ſua: quis nanque poſtmodũ hoſpitem excipiet? quis animũ inducet ſuum, vt infortunatorum miſereſcat, cùm ſatis apertum à pietate periculum imminens conſpiciat? Quem pauperis, egenique tanget

mi-

πένης αὐτὸς παρ' ἐκείνου γένηται; τί οὖν; στρατεύειν κατ' ἐκείνου καιρὸς, καὶ ἢ τοῖς ἐμοῖς συναπόλλυσθαι, ἢ τιμωρεῖσθαι τὸν ἀδικήσαντα.

miſeratio, vt pauper ipſe, egenusq; ab eo fiat? Quid moror? ducendarum copiarum in eum iam tempus adeſt, & vel vnà cum meis commoriendi, vel iniuriam vlciſcendi.

Τίνας ἂν εἴποι λόγους Ἕκτωρ ἀκούσας ἐν Ἅιδου Πρίαμον συγγεύσασθαι Ἀχιλλεῖ. γʹ.

Quid protulerit Hector, cùm apud inferos accepiſſet, Priamum vnà cum Achille conuiuatum fuiſſe. 3.

ΜΟνος περιόντων πατὴρ ὑπῆρχεν ὁ Πρίαμος. μόνος τοὺς παῖδας ἀληθῶς ὁρωμένους ἠσπάζετο. ἐν βίῳ πατὴρ, μετὰ βίον ἐστὶ πολέμιος. φονεὺς ἡμέτερος ὁ πατὴρ μᾶλλον ἐστὶ τοῦ Θέτιδος. ἐχθρὸς ὁ τεκὼν ὑπὲρ τὸν ἀνελόντα γεγένηται. τὸν μὲν γὰρ τὸ ἀν-

SVperſtitum tantùm Pater Priamus erat; natos tantùm ante oculos ſibi propoſitos diligebat; dum viueret, pater; vita defunctus, hoſtis: magis Pater, quàm Thetidis filius, in nos ſæuijt: qui genuit iniquior occiſore inimicus acceſsit. Ille nanque, quòd aduerſarius eſt, excuſationem ſui, ac defenſionem facilem habebit, ac promptam

τίπαλον ἐστὶν εὐαπολόγητον. ὁ δὲ προσαγαγὼν πρὸς τὸν αὐτόχειρα σπένδεται. καὶ ἔτι τοῦτο δεινὸν, καίπερ ὑπάρχον δεινόν. ἀλλ' ἤδη καὶ γέγονεν ὁμοτράπεζος, καὶ συνευωχεῖται πανηγυρίζοντι, καὶ τοῦ παιδὸς ἄγων τὰ νικητήρια. οὗ τί ἂν γένοιτο μιαρώτερον; ἢ μᾶλλον εἰπεῖν, ἀγριώτερον; οὐδὲ Πηλεὺς ὡς εἰπεῖν εὐθὺς μιαιφονοῦντι τῷ παιδὶ συνήσθιε, Πρίαμε. οὐκ οἶσθα πατὴρ γεγενημένος; ἢ μέχρι τοῦ τεκεῖν ὑπάρχειν ἐνόμιζες; κρεῖττον ἦν περιόντος περιορᾶν, ἢ πεπτωκότος ἐπιλανθάνεσθαι. ἅπτῃ χειρὸς συνεσθίων, ὦ Πρίαμε, δι' ἧς ἀπόλωλέ σοι τὰ τιμιώτατα. οὐχ ὁρᾷς φο-

ptam: qui verò nos in lucem protulit, fœdus icit cum homicida. Et licet id atrox ſit facinus, atrox tamen non apparet. En iam menſæ conſors, vnà cum dies feſtos agente hoſte epulatur, aduerſus filium palmam comparâs victricem: quo quid execrandius, aut immanius dici potuit? Neque Peleus, vt verbo expediam, ſtatim poſt necē patratam vnà cum filio, Priame, epulabatur. Annon noueras te Patrem factum? anne ad partum vſque te tantùm eſſe exiſtimabas? Satiùs erat ſuperſtitem deſpicere, quàm demortui in obliuionem venire: Manum illam contrectas, cùm ſimul conuiuaris, ò Priame, per quam tibi pretioſiſſima quæque deleta ſunt,

An

νεὺς τοῦ παιδὸς αἱματωμένην ταύτην τὴν δεξιὰν, καὶ ὡς εἰπεῖν ἔτι μετὰ τῆς τραπέζης ἐναποστάζουσαν. ἀλλ' ὡς ἔοικε νόμον ἀγαπᾷς οὐκ ἀνθρώπινον, λήθῃ παραδιδοὺς μετὰ θάνατον τὰ ποθούμενα.

Annon, filij interfector, illius dexteram ſanguine madidam, &, vt ita dicam, in menſam ipſam cruore ſtillantem conſpicis? Verùm, vt videris, ius ipſe, ſed non humanum amplecteris; dum poſt mortem tibi cariſſima è memoria, abijcis.

Τίνας ἂν εἶπε λόγους Ζωγράφος γράψας κόρην, καὶ ἐρασθεὶς αὐτῆς. δ΄.

Quid enunciauerit Pictor, depictæ à ſe Puellæ amore correptus. 4.

Οὐδὲν ἄρα κάλλους ἐστὶ δυνατώτερον, εἴγε καὶ διὰ χρωμάτων θηρᾶν ἐπίσταται, καὶ τοῖς ἀψύχοις ἁλίσκεσθαι παρασκευάζει τὰ ἔμψυχα. συνῆλθε πεποικιλμένῳ κηρῷ, καὶ τὸν εἰργασμένον ἐρᾶν κατηνάγκασεν. ὢ τέχνης προδοθείσης μετὰ τοῦ κτησαμένου. ὢ δεξιᾶς ἀδικούσης μετὰ τῶν ὀφ-

Nihil eſt valentius pulchritudine, ſi per colores etiam venari didicit; & vt ab inanimatis animata capiantur facit: in cerâ variè depictam conuenit, ad amandumq; compulit opificem. O Artem poſſeſſorem aggreſſam! ò dexteram vnà cum

ocu-

θαλμῶν τὴν διάνοιαν. τεχνίτης καλεῖσθαι βουλόμενος ἀγαθὸς, ἐραστὴς νῦν ἀτυχὴς ὀνομάζομαι. ἔγραψα πολλάκις ἐρώντων ὑπόθεσιν, καὶ διετύπουν χρώμασι τὰ τούτων μυστήρια. ἐποίουν ἔρωτός τινα τετρωμένον τῷ βέλει, μὴ παρούσης πληγῆς. ἐξήπτετο πάλιν ἐκ λαμπάδος, μὴ φαινομένου πυρὸς. φωνὴν παρεῖχον διὰ τῆς τέχνης, ὡς εἰπεῖν, τῷ κηρῷ, καὶ σκιὰν δοκεῖν διαλέγεσθαι παρεσκεύαζον. ἔγραφον ἄρτι μὲν τὸν ἐρῶντα δυσφοροῦντα πολὺ, μετ' ὀλίγον δὲ πρὸς τὴν ἐρωμένην δηλοῦντα σχήμασι τὴν προαίρεσιν. ἄλλοτε δὲ δῶρον ἐκπέμποντα, καὶ πολλάκις ψυχαγωγούμενον, οἷα δὴ πεποιηκότα, πολ-

oculis mentem iniurioſè captãtem! Cùm id appeterem, vt bonus nuncuparer artifex, nunc infortunatus amator compellor. Argumenta ſæpiùs amantiũ depinxi, eorumque arcana exprimebam coloribus. Saucium amoris iaculo, licet plaga abeſſet, repræſentabã; rurſus, nullo apparẽte igne, facula accendebatur; vocem arte, vt ita dicam, ceræ addebam, vmbramque colloquia, vt videbatur, nectere ſatagebã: amantem nimis anxium efformabam; paulòq; poſt Amaſiæ nutibus propoſita exponentem; quandoq, munus mittentem, & ſæpè ſeſe, ac ſi voluptati obſecundaſſet, recreantem; ſæpiùs, fallente ſpe, erumpentem in lacrymas.

λάκις δὲ καὶ ἀποτυγχάνοντα, καὶ πάλιν δακρύοντα. καὶ οὐ μόνον τὰ παρ' ἀνθρώποις ἐμιμούμην εἰκόνι, ἀλλὰ καὶ Θεοὺς παρεχόμην δουλεύοντας Ἔρωτι, καὶ τὴν ἐκείνων φύσιν μετέπλαττον, πρὸς ὃ μὴ πάσχειν πεφύκασιν· οἷον τὸν Δία βοῦν ἐποίουν δι' ἔρωτα, καὶ τὴν Εὐρώπην ἐπὶ τῶν νώτων φέρειν ἠνάγκαζον, καὶ περαιοῦσθαι διὰ τῶν χρωμάτων τὴν θάλασσαν. Κύκνος ἦν δι' ἐμὲ, καὶ ὅτε τούτῳ χαρίζεσθαι προῃρούμην, Χρυσὸς. ἔγραφον πάλιν αὐτὸν μετὰ τοῦ κεραυνοῦ, καὶ σώζων τὸ φοβερὸν, ἀπεστερούμην τὸ δέδιος. τί δέ; Ἀπόλλων βραδύτερος κόρης διὰ τῆς ἐμῆς ἐγένετο δεξιᾶς, καὶ δρόμον ἀπέραντον ἐνετίθειν τοῖς χρώμασιν ἐν οὐ κινουμένοις

mas. Neque ſolùm, quæ apud homines ſunt, imaginibus imitabar, ſed Deos ipſos Amori ſeruiẽtes proponebam, eorumq; ingenia, ad quidquid perpeti nata nõ erãt, immutabam. Iouem ſcilicet ob cupidinẽ bouem faciebam, adigebamque ſuper humeros Europam ferre, & per colores mare traijcere. Per me Cycnus erat, &, cùm illi gratificari vellem, Aurũ. Rurſum eundem cũ fulmine expingebam, & cùm terrorem ſeruarem, longè eram à timore. Quid plura? Apollo puella ſegnior per hanc meã dexteram pedes hortatur, curſuramq; ſine vllo termino, non ſe mouentibus pedibus coloribus apponebam.

ποσὶν. οἶδα κηρῷ δήσας τὸν Ἄρεα, καὶ πᾶσιν ἁπλῶς ἐγινόμην ὑπόθεσις. ἐγὼ δὲ καὶ νῦν ἑτέροις γεγένημαι. γράφετε ὦ τεχνῖται καινόν τι τὸν ἐμὸν ἔρωτα ἐκδιηγούμενοι. οἷς ἔπλασα, τούτοις ἑάλωκα. κόρης ἐρῶ, καὶ τυχεῖν μὲν ταύτης γέγονεν εὔπορον, οὔτε γὰρ βαδίζειν, οὔτε παραιτεῖσθαι τὴν πρᾶξιν ἐπίσταται. μίγνυσθαι δὲ ταύτῃ, καὶ τὴν ἐπιθυμίαν ἄγειν εἰς πέρας ἐστὶν ἀδύνατον. πείθω, τὴν οὐ πεφυκυῖαν πυνθάνεσθαι. ἀσπάζομαι φύσιν ἀναίσθητον. ἀλλ' ὦ χρώματα τῆς τοιαύτης παύεσθε χάριτος, καὶ μὴ πάθος ἐγείρετε, μὴ παρεχόμενον μετὰ ταῦτα τὴν ἴασιν.

Sciens Martem cera obligaueram, omnibuſque, vt me verbo expediam, argumentum pręſtabam; nunc verò id ipſe & alijs factus ſum. Scribite, ò Artifices, nouum hũc meum narrãtes amorem; ijs, quæ ipſe effinxeram, captus ſum. Puellam depereo, illiuſque potiundi facultas data eſt: neque enim progredi, neque factum abnuere ſcit. Cum ea cubare, atque animo obſequi meo poteſtas data, non eſt. eam ipſe blãdè illicio, quæ audire apta non eſt; ſenſuiq; haud obnoxiam naturã amplector. Veruntamen, ò colores, à venuſtate, & gratia ceſſate; neque perturbationem excitate, quæ poſtmodum malo medicinam non facit.

Quàm

Τίνας ἂν εἴποι λόγους ὁ Ἡρακλῆς τοῦ Περικλυμένου μεταβαλλομένου παρὰ τὴν μάχην, καὶ τὴν οἰκείαν ἀρνουμένου μορφήν. ε΄.

Ἡττημένη τοῖς πρώτοις ἡ Τύχη, καθ' ἕνα τῶν ἀγώνων προσφέρουσα, νῦν τι καινότερον ἐτεχνάσατο καθ' ἡμῶν, εἰς ἕνα πάντας συναγαγοῦσα κινδύνους, καὶ τούτους ἀφανῶς ἐπιφέρουσα. δέδωκεν ἡμῖν ἀνταγωνιστὴν Περικλύμενον, οὐκ εἰδότα μένειν, ὅπερ γεγένηται. τεθέαμαι πρότερον ἄνθρωπον, καὶ πρὶν εἰπεῖν ἀγωνίζεσθαι τὴν φύσιν μετέβαλλε, καὶ μεταβεβλημένος, μένειν πάλιν ὁ αὐτὸς οὐκ ἀνέχεται. νῦν μὲν γὰρ ὥσπερ ἐκ μηχανῆς τινὸς ἀναφαίνεται Λέων, εἶτα

Quam orationem habuerit Hercules, Periclymeno in certamine ſeſe commutante, nec propriam formam referente. 5.

PRimis Fortuna caſibus ſuperata, vnumque poſt aliud certamen afferens, nunc in vnum omnia pericula aggerens, eaque admouens clanculùm, neſcio quid aduersũ nos edit noui, deſignatque. Periclymenũ mihi aduerſarium exhibuit, qui ſtare neſcit, in eo, quod factus eſt. Priùs hominem conſpexi, qui, antequam ſe in certamen accingeret, formam immutauit, & immutatus, rurſus idem perſeuerare nõ ſuſtinet. Nunc enim veluti è machina Leo impetit, poſtmodum

δείκνυται Πάρδαλις, καὶ μετ᾽ ὀλίγον Φυτὸν, καὶ πᾶσαν ἁπλῶς σχηματίζεται φύσιν, ἑτέραν ἀφ᾽ ἑτέρας εὐκόλως ὑποκρινόμενος. θαυματοποιὸς δὲ οὗτός ἐστιν ὁ πολέμιος. μεῖνον ὅπερ γεγένησαι, καὶ οὐ μηδὲν ἔτι μεταβαλλόμενος· μεταθεῖναι γὰρ τὸν βίον, οὐ τὴν θέαν παρασκευάζομεν. νῦν δὲ παντοδαπῆς φύσεως εὐπορῶν, ἀπορεῖν πρὸς τὸν ἀγῶνα παρέχεις ἡμῖν, εἷς ὢν, καὶ πρὸς πολλὰ διαιρούμενος, καὶ μὴ φαινόμενος, ὃ μετείληχας· συγχεῖς μετὰ τῶν ὀφθαλμῶν τὴν πρὸς τὸν ἀγῶνα παράταξιν. μεταβαλεῖν γὰρ καὶ τὴν μάχην ἀνάγκη πρὸς τὸ φαινόμενον. ἀριθμεῖν ὡς εἰκὸς τὰς μεταβολὰς, οὐκ ἀγωνίζεσθαι δέον. οὐ ταῦτα [illegible]

Pardus ſubſultat, nec multò poſt Planta comparet, & in omnem, vt paucis dicam, vnam poſt aliam prōtiſſimè induens, ſe vertit naturam. Præſtigiator eſt hic aduerſarius.. qui fueras id permane, & te immutare iam deſines; vitam nanque, non aſpectum noſtra opera commutabis. Nunc verò omnimodæ naturæ affluens nos in certamine hærere facis, qui vnus cùm ſis, in multaque diuiſus, nec, quod acceperas, apparens, vnà cum oculis, pugnæ inſtructionem confundis. Nanque ad id, quod viſui obijcitur, prælium quoque immutari neceſſe eſt, numerareque verſuras, vt conijcio, vbi pugna iniri iam debet. In alijs, quos antea ex-

παρὰ τοὺς πρώην ὑπῆρχεν ἀγῶνας. ἆθλοι μοι πρῶτοι γεγένηνται Δράκοντες, καὶ τούτους ἀνεῖλον ἔτι μειράκιον γεγονώς. ἐγκατασκήψαντα περὶ τὴν Ἑλλάδα διέφθειρα Λέοντα, καὶ οἷς εἷλον ὁπλίζομαι. Ὕδραν μετ᾽ ἐκεῖνον διέφθαρται, πλουτοῦσαν τῶν κεφαλῶν, καὶ ταύτας μερίζουσαν τῷ φόνῳ. συνήφθην εἰς μάχην τοῖς κάτω θεοῖς, καὶ νῦν μὲν τοὺς τεθνηκότας ἀναβιοῦν παρεσκεύαζον, νῦν δὲ τοῦ φυλάττοντος ἀπεστέρησα, συλήσας τὸν Κέρβερον. Ὄρνεις ἀνεῖλον φαρέτρας βελῶν κεκτημένας τὰς πτέρυγας. Ἥραν ἐναντιουμένην εἶχον σὺν Εὐρυσθεῖ, καὶ πρὸς ἄθλους, μᾶλλον δὲ πρὸς θάνατον, καθάγε ἐκείνους ἀποστελλόμενος, ἐπαινήσειν, σύμ-

exhauſi labores, hæc non erant. Primum mihi certamem oblatum eſt Dracones, eoſque puellus adhuc confeci. irrumpentem in Grçciam Leonem manu obtruncaui mea, & ex extinctis mihi armaturam comparo. Hydram poſtmodũ capitibus diuitem, eaque cæde compenſantem, exanimalem feci. Pugnam cum Dis inferis iniui; & nunc defunctos vitæ reſtituebam, nunc eos, ſublato Cerbero, cuſtodia ſpoliabam. Aues occidi, alas habentes veluti pharetras ſagittarum plenas. Iuno ſimul cum Euryſtheo aduerſatrix erat, & ad certamina, an ad mortem potiùs, vt ipſi opinabantur, dimiſſus, ſigna victoriæ non

βολον νίκης ἔχων οὐ τελέως· ἠλευθέρωται δι' ἡμᾶς τῶν λυμαινομένων ἡ γῆ, καὶ τόπος οὐδεὶς τῶν ἐμῶν ἀμάρτυρος πόνων καθέστηκε. νῦν δέ μοι τὰ τῆς ἀγωνίας γέγονεν ἄπορα, μήτε λήγειν τῆς μάχης, μήτε μάχεσθαι παρεχομένης τῆς τύχης. ἀπιστεῖ τοῖς ὀφθαλμοῖς ἡ διάνοια, καὶ μόλις ἐξαρκέσω θεώμενος, ἅπερ ὁρᾶν δίδωσιν ἑαυτὸν τρεπόμενος, καὶ μόνον ἐκπληττόμενος, οὐ μαχόμενος ἕστηκα, πρὸς ὅ, τι μεταβληθήσεται λογιζόμενος. ἀλλὰ τί ταῦτα; πρὸς συμμαχίαν καλέσω τὴν Ἀθηνᾶν. δείξει γὰρ ἡμῖν τὸν πολέμιον, καὶ μάχης οὐ δεήσει πρὸς τὴν ἀναίρεσιν.

non exitij deferés reuertebar. Per nos terrarum Orbis à fontibus liberatur, nulluſque locus meorum laborum teſtimonio vacat. Nunc verò meum certaminis ratio animum incertat, cùm nec deſiſtere pugna, nec decertare Fortuna concedat. Nõ fidit oculis mens. vix ſatis erò ad conſpiciendum, quæ ipſe continuò ſeſe immutans oculis objicit; neque pugnans, ſed attonitus hæreo, in quo ſe vertet ſemper animo reputãs. Quid porrò hæc? Auxilium mihi, præſidiumque à Minerua expetam; quæ mihi aduerſariũ palam oſtendet, nec ad eum conficiendum pugna neceſſaria erit.

ΘΕΟΔΩΡΟΥ ΚΥΝΟΠΟΛΙΤΟΥ

Ἠθοποιΐα.

THEODORI CYNOPOLITÆ

Æthopœia.

Τίνας ἂν εἴποι λόγους Αἰσχίνης, ἡνίκα φεύγοντα καταλαβὼν Δημοσθένης, καὶ φιλοφρονησάμενος παρεγγύα φέρειν τὸ συμβεβηκὸς γενναίως.

Μετὰ πάθος Δημόσθενες ἐλεεῖν οἶδας τοὺς δυστυχήσαντας; μετὰ πάθος σπένδῃ πρὸς τὸν πολέμιον; οἰκτείρεις φυγὴν, ἧς γέγονας αἴτιος, καὶ τὰ φίλων πράττεις, ὁ τὰ δυσμενῶν ἐνδειξάμενος; τί μὴ ταῦτα πρὸς τὸ δικαστήριον ἔ-

Quid faſſus ſit Æſchines, cùm eum exilij cauſa ſolum vertentẽ Demoſthenes cõprehendiſſet, exhibitisq́ muneribus adhortaretur, vt infortunium fortiter ferret.

Poſt iacturam factam, eorum, qui graui fortunę percuſſi ſunt vulnere, miſericordia Demoſthenes cõmoueris? poſt ruinam cum aduerſario in concordiam redis? de exilio, cuius ipſe auctor fuiſti, indolés, &, quæ amicorum ſunt, perficis, qui hoſtilem priùs animum comonſtraſti? Quamobrem ea ante Iu-

παρόντες, ἔνθα περί τε βίου ψῆφος, καὶ πατρίδος ἐφέρετο. τί μὴ καὶ βραχὺ τῆς κατηγορίας τὴν συντονίαν ἐχαύνωσας, ἀλλ' οὐδ' ὅσον τῆς ποικιλίας ἀφῆκας τῶν λόγων. μᾶλλον δὲ οὐδ' εἰσάπαξ λέγων παρέτρεχες, ἀλλ' αὔξων τὸ δεινὸν ἐπολυπλασίαζες τῇ δεινότητι, καινοῖς ἐπάγων νεώτερα, καὶ τὸ πάλαι ῥηθὲν τοῦ κατασκευάζειν πολλάκις ἀνανεούμενος; τί μοι δῶρον προτείνεις ὀλίγον, ὅλης πατρίδος ἐξωθησάμενος; τί μοι ξένια διδὼς, ξένον καταστήσας τῆς οἴκαδε; δακρύεις ἀρτίως ὁ μὴ συγχωρῶν ἐλεεῖσθαι τὰ δάκρυα. παῖδας οἰκ-

Iudices, cùm de vita, & patria ſententia expectabatur, non molliebaris? quare tum accuſationis contentionem vel paululum non emollijſti, qui ne hilum quidem dè varietate ſermonis remiſiſti, nec ſemel re enunciata in aliam atque aliam te conferebas, ſed malũ adaugens, vi illa tua, ac dicendi acrimonia, multiplicabas, rebus nouis nouiora interſerens, & quod ante dixeras, dũ aſtruis, & probas, ſæpè ſæpius veluti nouum proponens? Quid munus mihi puſillum protẽdis, qui totius me patriæ extorrem feciſti? Quid mihi hoſpitia exhibes, qui rerum domeſticarum hoſpitem reddidiſti? Nunc profundis lacrymas, qui à lacrymis miſerationem omnem ammouebas? Puerorum miſericordia duceris, qui à tri-

τείρεις, οὓς ἀπωθήσω τοῦ βήματος. ἐλεεῖς διωκόμενον, ὃν οὐκ ἀφῆκας πολιτευόμενον. ἀλλ' ὡς ἔοικε νῦν δοκεῖς ἡμέτερος, ἡνίκα θαῤῥεῖς, ὡς κἂν ὁπωσοῦν συμπράξῃς, ἔτι σώζειν οὐκ ἔνεστι. τί οὖν τὴν ἄλλως ὀδύρομαι τῆς συμφορᾶς ἐμαυτῷ γενόμενος αἴτιος, κινήσας ἐχθρὸν, ὃς καὶ θαυμαζόμενος, ὡς εἰπεῖν, αἰτιᾶται τὸν ἐπαινέσαντα.

à tribunali eos eieceras? miſereris illius, qui pellitur, quē Reipublicæ res pertractantem ſuſtinere noluiſti? Veruntamen, vt videtur, nunc noſter videri vis, cùm certò teneas, licet conatus tuos omnes ad auxiliandum contuleris, ſeruandi nos tibi facultatem non eſſe. Sed quid fruſtra lamentor, qui mihi ipſi calamitatis cauſa fui, in me hoſtem exacuens, qui laudatus etiam, vt ita dicam, laudatorem ipſum in iudicium vocat, ac crimen?

Μελέται τινές.

ADRIANI RHETORIS

Declamatiunculæ.

Ἀλοῦσα φαρμακείας οὐχ οἵα τε ἦν καυθῆναι. ὑπέσχετό τις γυνὴ καύσειν αὐτήν, καὶ ἔκαυσεν. ἀξιοῖ ΑΔΡΙΑΝΟΣ Ο ΡΗΤΩΡ καὶ ταύτην καῆναι. α´.

Veneficij comperta Mulier comburi non poterat: altera eam ſe ambuſturā promittit, & amburit. ADRIANVS ORATOR, vt & hæc ipſa comburatur, efflagitat. I.

Πρὸς μὲν τὸ λέγειν, ὡς οὐ τὰς κεκτημένας τὴν τέχνην ὁ νόμος, ἀλλὰ τὰς ἐπὶ κακῷ χρησαμένας ἀπαιτεῖ τιμωρίαν, εὐχερὲς ἀπ' αὐτοῦ ποιήσασθαι τοῦ νόμου τὴν διδασκαλίαν. ὁ γὰρ οὐ τὴν φαρμακεύουσαν εἰπών, ἀλλὰ τὴν φαρμακίδα, καὶ τῇ προσηγορίᾳ τῆς τέχνης τὴν τι-

Contra aſſerentes, legem nō ab illis, quæ artem poſſident, ſed ab illis, quæ in perniciem aliorū arte vtuntur, pœnas petere, ex eadem lege, legis facilis eſt interpretatio. nam cùm non venena vſurpantem, ſed Veneficam dicit, artiſque appellationi

μωρίαν ὑποθεὶς, δῆλός ἐστι μισῶν τὸ δρᾶσαι δύνασθαι. καὶ γὰρ ὅσα μὲν τῶν ἀδικημάτων τόλμης ἔχεται μόνης, ἐκ τοῦ πραχθῆναι διελέγχεται· ὅσα δὲ ἐστι τέχνης, καθάπερ φαρμακεία, ταῦτα καὶ πρὸ τῆς πράξεως ἀπὸ τῆς γνώμης διαβάλλεται. καὶ γὰρ τὰς τέχνας, ἀφ' ὧν ἐστι τὸ δύνασθαι βλάψαι, προσλαβεῖν μανθάνοντας, ἀπ' αὐτῆς ὑποπτεύειν ἀνάγκη τῆς ἐπιθυμίας. οὐ γὰρ χρὴ τὰ παθεῖν ἀναμείναντας οὕτως ἀμύνασθαι ζητεῖν τοὺς ἐξ ὧν ἔπαθον δρᾶσαι δυνηθέντας, ἀλλὰ πρίν τι παθεῖν ὑποπτεύειν τὸ δρᾶσαι δύνασθαι. τί τοίνυν ὁ φαρμακεύς ἐστι, λῃστὴς ὡμολογημένος.

lationi pœnam infligit, manifeſtè nobis indicat,ſe facultatem, abhorrere patrandi. Scelera enim, quæ audacia, ac temeritate admittuntur, dum fiunt, palam redarguuntur: quæ verò artis ſunt, veluti Veneficium, etiam ante quàm perficiantur, applicatione ipſa cõdemnantur. Artes ſiquidem,quibus facultas comparatur nocendi, ſi quempiam addiſcentem compereris, rei peragendæ deſiderio ſuſpicionẽ inijciat, neceſſe eſt. Haud enim decet flagitium expectare; vt propter ea,quæ ſuſtinueris, ab ijs, qui malum, damnumq; dare poterant, ſupplicium ſumas; ſed ante quàm detrimentum accipias, eorum facultatem in ſuſpicionem vocare. Annon Veneficus eſt confeſſione omnium

latro,

προτείνων τέχνην ἀδικημάτων, ἄσκησις ἐπιβουλῆς, παρανομίας ἐπάγγελμα, ἰσχὺς ἀσεβημάτων. ἐπεὶ καὶ τῶν θηρίων τουτωνὶ τῶν ὁμοτέχνων ὑμῖν, ὦ γύναι, τὰ πολλὰ κολαζόμεν, οὐδὲν ὑπ' αὐτῶν προαδικηθέντες, ἀλλὰ τὴν δύναμιν αὐτῶν μεμισηκότες. ὅτι κἀκείνων τι ἕκαστον ἔχει φάρμακον ἐν τῇ φύσει. καὶ γὰρ εἰ τὸ δυνηθῆναι μαθεῖν οὐ πεφώρασαι περὶ ὧν ἔδρασας, ἀλλ' ὅτι δύνασαι δρᾶσαι πεφωραμένη, δώσεις, ὡς δράσασα δίκην, εἰ καὶ μέχρι νῦν δεδύνησαι λαθεῖν. καὶ τί δεῖ λέγειν περὶ σοῦ, εἰ μὲν γὰρ ἐμίσεις τὴν τέχνην, οὐκ ἂν ἐμάνθανες, εἰ δὲ ἔχεις τὴν ἐπιστήμην ἐφθόνεις, οὐκ ἐ-

latro, artem iniuſtitię venditans, fraudum exercitatio, iniquitatis profeſſio, ſtabilimentum impietatis? Annon & animantia, tui in arte conſortia, ò Mulier, nulla priùs ipſi ab illis iniuria affecti, vt plurimū punimus, eorum tantùm ingenium abhorrentes, quòd in ſe natura ſua venenum foueāt, nutriantque? Etenim quamquam artem te latere non poſſe deprehēſa non es; ex his tamen, quæ feciſti, faciendi facultatem habere deprehenſa, pœnas dabis, quaſi feciſſes, quāuis vſque adhuc in latebris fueris. Quid porrò de te dicendū eſt? ſi odio artem proſequereris, non didiciſſes, ſi ſcientiam poſſides, inuideres, non abhorreres: quod enim

quis

μίσεις, κολάζει γάρ τις, ὃ φθέγγει. ζηλοτυπεῖ δὲ, ὃ μετ' ἄλλων ἔχει. καὶ γὰρ λῃστὴς ἤδη λῃστὴν ἀπέκτεινεν ὑπὲρ σκύλων ὠργισμένος, καὶ τύραννον καθεῖλέ τις μοναρχεῖν ἐθέλων. τοιοῦτόν τι γεγένηται, καὶ τὸ νῦν ὑπὸ σοῦ τετολμημένον. μοναρχίαν φαρμακείας οἴει σεαυτῇ διαπεπρᾶχθαι, τὴν κοινωνοῦσαν τῆς τέχνης μετακεχειρισμένη.

quis abhorret, punit; ęgrè verò fert ſi, quod ipſe poſſidet, alius quoq; potiatur. Prædo enim prædonem pro ſpolijs dimicans interficit, & alius ſumma rerum potiri ſolus auens, Tyrannum de poſſeſſione deturbat. Hoc facinore per te nunc tam audacter admiſſo cõſimilem illis ludum ludis. Tyrannidem tibi in veneficio ſtabiliſſe arbitraris, dum artis ſociam de medio tollis.

Μισθοφόροι τὸν ποταμὸν τοῖς πολεμίοις ἐπήγαγον, καὶ ἀπαιτοῦσι τὸν μισθὸν παρ' Ἀμφικτύοσι δοκιμαζόμενοι. β'.

Mercenarij milites, flumine in hoſtes diducto, mercedem exigũt, dum res apud Amphictyones in contentione verſaretur. 2.

ΟΥ'κ ἐπαναλώσαμεν τῷ πολέμῳ χρόνον, ἀλλὰ προσέθημεν τῇ νίκῃ τάχος, ὑμεῖς δὲ

NOn pugnando tẽpus inſumpſimus, ſed celeriter victoriã ſumus conſecuti; &

ἀποστερῆσαι τὸν μισθὸν διεγνώκατε, τὸ πλεονέκτημα τῆς εὐτυχίας ἔγκλημα ποιούμενοι, καὶ οὐδὲ ἐκεῖνο συνίετε, ὅτι πολλοὶ συμμαχήσαντες, οὐ μέν τοι κρατήσαντες τὰ συνωμολογημένα χρήματα παρὰ τῆς συμμαχίας τυχόντων κομίζονται. διότι τῶν συμμαχούντων ἕκαστος συμβαλλόμενος τὴν γνώμην οὐκ ἐπαγγέλλεται τὴν τύχην. ὢ τὸ παράδοξον τοῦτο τόλμημα ἡμῶν. στρατόπεδον ὅλον ποταμῷ βάλλεται, καὶ κλύδωνι χερσαίῳ παρασύρεται, καὶ χειροποιήτῳ χειμῶνι βαπτίζεται. ὢ μὴ πεζομαχήσαντες ἡμεῖς μόνον, ἀλλὰ καὶ χωρὶς νηῶν ναυμαχήσαντες. αὔτανδρον οἴχεται τὸ τῶν πολεμίων στρατόπεδον, καὶ παν-

vos operis mercedē, noſtræ felicitatis cumulum, & excitatam à nobis fortunam ad errorem detorquentes, negatis. Annon animo vertitis, pleriſq; belli ſocijs, licet nō parta victoria ceſſerint, pactam tamen mercedem ab ijs, qui auxilio leuati fuerāt, annumerari? Auxiliarij quippe milites animum conferunt, non fortunam præſumunt. ò præter omnem expectationem egregiè à nobis, audacterque factum! Integer exercitus fluuio disijcitur, terreſtri tempeſtate cōuoluitur, hyemeque manibus facta immergitur. ò nos ſolos, qui terreſtribus copijs nō conflximus, ſed nauali prælio, nulla etiam nauium ope, decertauimus! hoſtium legio-

δημων ἐν ἠπείρῳ μέσῃ τοὺς ἐχθροὺς κατείληφε ναυάγιον. κῦμα δεδιδαγμένον ἠγείρετο, καὶ ῥοῦς κεκελευσμένος ἐγίνετο, καὶ ποταμὸς ὑπὸ συνθήματος ῥεῖν προσετάττετο. ὦ μὴ μόνον ἀνδρῶν, ἀλλὰ καὶ ποταμῶν ἐστρατηγηκότες.

giones ad internecionem vſq; deletæ ſunt, & in cõtinenti commune naufragium aduerſarij fecere. Fluctus diſciplinæ conſultus ſurgebat, riuuſque imperatus aquas agebat, & fluuius de compacto iubebatur effuſus irrumpere. ô non ſolùm hominibus, ſed fluminibus etiam ſuperiores!.

Δεσπότης δούλου κατηγορεῖ ἐπὶ μοιχείᾳ, τῆς οἰκείας γαμετῆς ἐξηγησαμένης, ὡς ὄναρ τούτῳ ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ ἐμίγη. γ.

Dominus audiens ab vxore, ſe in ſomnis cum ſeruo in Veneris templo concubuiſſe, ſeruum adulterij accuſat. 3.

ΟΤι μὲν οὐδεὶς ἂν ἑκὼν ἐπὶ τοιαύτην δίκην ἔλθοι, καὶ ταῦτα σοι μέλλων, Βασιλεῦ, χρήσασθαι δικαστῇ, ὃς οὐ μόνους τοὺς τῶν κρινομένων

NEminem æquo animo in hanc, in qua verſamur, cauſam deſcendere, eòq; præcipuè, cùm te iudice, dicendum ſit, ô Rex, qui non tantùm eorum, qui ad iudicium vocantur, inſtituta, at-

ἐξετάζεις βίους, ἀλλὰ καὶ τοὺς τῶν κατηγορούντων τρόπους, οὐκ ἔστιν ὅστις οὐκ ἂν συνομολογήσει ἐμοί. ἔστω δὲ καὶ τοῦτο τεκμήριον τοῦ τὴν κατηγορίαν εἶναι τὴν γινομένην ἀληθῆ, τὸ καὶ τὴν ὑπόθεσιν εἶναι τῷ μέλλοντι κατηγορεῖν ἀηδῆ. τὴν γὰρ τοιαύτην δίκην ἡ νικηθεῖσα μὲν ἀδικεῖ. ἀτυχεῖ δὲ ὁ νικήσας. παραιτοῦμαι δὲ συγγνώμην ἔχειν μοι οὐ κατηγορεῖν βεβουλημένῳ, ἀλλὰ σιγᾶν μὴ δυναμένῳ, οὐ μόνον ὅτι ἀφόρητόν ἐστιν ἀδίκημα μοιχεία, ἀλλὰ καὶ ὅτι τῷ κοινωνῷ τῆς αὐτῆς ὕβρεως ἴδιόν τι τῆς ταύτης πρόσεστιν. ὁ γὰρ μοιχὸς δοῦλος ἐστὶ, καὶ τὴν ψυχὴν ταπεινὸς, κἂν ταύτῃ καλὸς εἶναι δοκεῖ. δοῦλος δὲ οὐδὲ ἄλλου τινὸς, ἀλλ'

que ingenia, ſed eorum etiam, qui vocãt, mores expendis; nullus eſt, qui vnà mecum non fateatur. Accuſationem verã eſſe illud indicio ſit, quòd argumentũ Accuſatori accidat iniucundum. In hac ſiquidem cauſa, victa iniuſtitiam facit, victor miſer ex animo eſt. Porrò mihi veniam deprecor, qui accuſationem neutiquam intendo, ſed qui ſilentium agere non poſſum. non ſolùm quòd adulteriũ iniuſtitia eſt, minimè ferenda, ſed etiam quòd ſceleris conſors, & operis ſocius iniuſtitiam cum adultera participat. Adulter enim ſeruus eſt, vilis animo, licet ipſi bellus appareat. Neminis alterius ſeruus, ſed

mei

ἐμός. ἔδει δὲ καὶ ταύτης δοῦλον αὐτὸν, ἀλλὰ μὴ δεσπότην εἶναι, ποιεῖ δὲ τὴν μοιχείαν περιττὴν, καὶ μᾶλλον αἰσχρὰν ἄμφω συνελθόντα, ἡ τῆς μεμοιχευμένης δόξα, καὶ ἡ τοῦ μοιχεύσαντος ἀδοξία. δέομαι δέ σου, βασιλεῦ, πρὸς αὐτά μοι βοηθῆσαι, ὑπὸ μὲν γυναικὸς ὑβρισμένῳ, ὑπὸ δὲ δούλου παρευδοκιμημένῳ. νεμεσῆσαι δὲ καὶ τούτοις, ἐν μὲν τοῖς ἔργοις λαθεῖν δεδυνημένοις, ὑπὸ δὲ τῶν Θεῶν μεμηνυμένοις. ἀπορῶ δὲ πότερον αἰτιάσωμαι θατέρῳ σύμβουλον, καὶ διδάσκαλον γεγονέναι τῶν ἁμαρτημάτων. οὗτος μὲν γὰρ μειράκιόν ἐστιν. ὁ δὲ τοιοῦτος πεισθῆναι μᾶλλον, ἢ πεῖσαι πιθανὸς εἶναι δοκεῖ. καὶ διέφθαρται μᾶλλον, ἢ διέφθαρκεν,

mei : At decebat mulieris huiuſce etiam ſeruum eſſe, nō Dominum. Adulterium atrocius, immaniuſque redditur, dū in vnum coaleſcunt, & adulteræ ſplendor, & adulteri vilitas. Oro,atq; obſecro,Rex, vt mihi, qui ab vxore contumelijs laceror, & à ſeruo cōtemnor, opem feras, illis ſuccenſeas, qui, cùm poſſent tenebricoſas libidines cōtegere,ex tamen Deorum munere propalantur.Hęret animus, quemnā ex his tamquam alterius conſiliarium, & ſcelerum auctoré accuſem. Hic enim puer eſt, ab alijs ſuaderi, quam ſuadere aptior: corruptuſque potiùs eſt, quàm corrupit. Hæc verò Mulier eſt, cui mens facili-

αὕτη δέ ἐστι γυνή. δυσεξαπάτητον δὲ εἶναι δοκεῖ γυνή. ὥστε τοῦ μὲν τὸ τῆς ἡλικίας ἀσθενές, τῇ δὲ τὸ τῆς φύσεως τοιοῦτον συναγωνίζεται. συνελὼν οὖν λέγω. συναμφότεροι καλοί. δοῦλον οὖν τίς προετίμησεν ἀνδρός; ὡραῖος γάρ ἐστι, καὶ καλὸς εἶναι, Βασιλεῦ, κἀμοὶ δοκεῖ. καὶ πολλάκις αὐτὸν ὁ μωρὸς πρὸς ταύτην ἐπήνεσα, ὡς εὖ μὲν τὸ πρόσωπον ἱστάντα, ὑγροῖς δὲ τοῖς ὄμμασιν ἐμβλέποντα. ἐπήνεσα δὲ αὐτοῦ πολλάκις καὶ χεῖρας ἄκρας, ὡς λευκὰς, καὶ κόμας ταύτας, ὡς ξανθάς, καὶ ταῦτα ἄρα λέγων ἐδίδασκον ταύτην ἐρᾶν. οἶδας δὲ καὶ σὺ, Βασιλεῦ, ὡς ἐστὶ ταῦτα ἀληθῆ. οὐδὲ γὰρ κατέλιπεν αὐτὸν τὸ κάλλος, οὐδὲ φο-

lis, & apta capi, vt quiſq; exiſtimat. Quare huius quidem, ætatis imbecillitas, illius naturæ procliuitas cauſam ſuſcipiūt. Vt breuis itaque ſim; Ambo decora facie ſunt: ſed quiſnā Marito ſeruum antepoſuit? Lepida forma eſt; & pulcher mihi quoque, ò Rex, videtur; ſæpiuſque, heu me ſtolidum! ipſa coram illius pulchritudinem laudibus extuli: vt cō-cinnè faciem ſiſteret; vt humentibus oculis intueretur: collaudaui haud rarò illius manuū extremitates, veluti candidas; capillos vt flauos; quæ cùm dicerem, amatorię illi artis poculum propinabam.

Hæc ita ſe habere, teſtis ades & ipſe, ò Rex, neque enim, licet perterritum, pul-

chri-

βούμενον, ἀλλ' ἔλαμψε μὲν ὑπὸ τοῦ δέους ἡ παρειὰ, τὸ βλέμμα δὲ οὐκ ἀπλούθησεν, οὐ δὲ λυπουμένου. παρέστηκε δέ σοι δεδεμένος, ἀλλ' ἐπέστρεψεν αὐτοῦ καὶ τὰ δεσμά. φθόνος σοι καταρᾶται, καὶ τῶν κακῶν ὁ κίνδυνός σε κοσμεῖ, πονηρὲ, καὶ καλέ. ὀκνῶ δὲ ἀπό τα λέγειν, ὅτι σήμερον, καὶ καλλίων ἐγένετο. οὐκ ἐλεεῖς με, βασιλεῦ; μοιχὸν ἀνὴρ ἐπαινῶ, καὶ ταῦτα τῆς μεμοιχευμένης ἀκουούσης. φοβοῦμαι δὲ, μὴ καὶ σήμερον τὸ κάλλος αὐτοῦ βοηθήσει. ἐπῄνουν αὐτὸν οὕτως. ὑπώπτευον δὲ αὐτοῦ τῶν ὀφθαλμῶν τὴν πλάνην, καὶ τὰ πολλὰ κινήματα, καὶ τὸ ἀποβλέπειν τῆς κύλικος ἔξω, καὶ τοὺς ὅρους τῶν οἰνοχόων

chritudo deſtituit,ſed in metu genarũ ſplendor clarior illuxit; nec aſpectus mœrentis, etiã florem amiſit. Adſtat tibi catenis adſtrictus,at verò ſplendet inter vincula fulgore formæ. Inuidia te maledictis inceſſit, & infortuniorum diſcrimina te exornant, nequam, & pulcher. Piget dicere, eundem hodie pulchriorem eſſe factum. Nonne miſereris mei, ò Rex? Adulterum Maritus, audiente adultera, laudo. Vereor ne pulchitudo illi hodie ſuppetias ferat. Eum ſic ipſe collaudabam, ſed mihi ſuſpicionem ingerebant, & oculorum error, & crebræ motiones, & quòd is extra poculum clam proſpiceret, & pocillatorum modos excederet. Mox

ὑποβαίνειν. τηρήσας δὲ εἶδον ἀμφοτέρων αὐτῶν νεύματα, τὸ μὲν παρ' αὐτοῦ πεμπόμενον, τὸ δὲ παρ' ἐκείνης συναντῶν, πάντα δὲ ὁμοῦ παρῆν ἐπ' αὐτοὺς, νεότης, οἶνος, κάλλος. προσῆν δὲ τούτοις ἐγὼ τῆς μοιχείας συναγωγὸς, ὁ τοῦ κάλλους ἑρμηνευτής. ᾤμην δὲ αὐτοὺς νουθετήσειν, τὴν μὲν ἀνυπόδετον ἐκπέμψας, τὸν δὲ πατεῖσθαι καταβαλών. ὁ δὲ, ὡς ἔοικεν, οὐκ ἠτιμάσθη πατούμενος, ἀλλ' ἐπατήθη μᾶλλον ἐλεούμενος. καὶ γυναικῶν ἐν ὕπνοις, ἡ μὲν φίλανδρος οἰκουρεῖ, ἡ δὲ φιλότεκνος ὠδίνει, ἡ δὲ ἔριθος ἐργάζεται, ἡ δὲ ἐρῶσα μοιχεύει.

cùm attentiùs animũ intendiſſem, amborum nutus aſpexi, alterum, qui ab iſto emitteretur, alterum, qui ex ea obuius fieret. Omniaque in illis conſentiebant, iuuentus, vinum, forma. Quibus etiam ipſe aderam adulterij conciliator, formę interpres. ſatis in eos me animaduertiſſe exiſtimabam, ſi illam ſine calceis extruderem ædibus, hunc proterendum, cõculcandumq; dederem. At hic, vt videtur, cõculcatus nullam infamiam ſubijt, quinimo commiſeratione potiùs quadam pedibus protritus eſt. Et è Mulieribus, dum ſomniant, quæ virum amat, facta domeſtica dormiens curat; quæ liberos, parturit, quæ lanificia, operatur, amoribus prona, mœchatur. Hæc autem adulteratur. Vnuſquiſque

no-

εἰ δὲ μή γε. ἕκαστος ἡμῶν τῶν ὀνείρων ἑαυτῶν ἀναμνησάτω, τὶ μὲν ὀνειροπολεῖ τὰ πολλά, τὶ δὲ ὁρᾷ, τοξότης τόξον, ἱππότης ἵππον, βασιλεὺς θρόνον, αὕτη δὲ μοιχόν. ἑάλωκας, ὦ πανουργοτάτη γυναικῶν. ἑώρακά σε αὐτῷ μειρακίῳ περιπεπλεγμένην. τὰ γὰρ νυκτερινά σου φιλήματα τῶν μεθ' ἡμέραν ἐστὶν ὑπομνήματα. ἃ ποιεῖς ἐγρηγορυῖα, ταῦτα καθεύδουσα μελετᾷς. ἐνύπνιον γὰρ ἀνθρωπίνης σπουδῆς εἴδωλόν ἐστι. καὶ συγκατάκεισαι μὲν ἐμοὶ, χολάζεις δὲ ἐκείνῳ. καὶ παρ' ἐμοὶ μὲν τὸ σῶμα, παρ' ἐκείνῳ δὲ ἡ ψυχὴ, κἀμοὶ μὲν καθεύδεις, ἐκείνῳ δὲ οὔ.

noſtrum ſua ſibi ſomnia in memoriam reuocet: quod vt plurimùm inter ſomniandum videt, id animo etiam verſat; ſagittam ſagittarius, eques equum, Rex ſolium, Quid hæc? Mœchum. Comperta es ſceleſtiſſima mulierum. Vidi tuos cum puero permultos complexus. Nocturna ſiquidem ſuauia rerum, quæ interdiu fiunt, commonent. Quæ vigilans conficis, ea dormiens meditaris. Studiorum quippe humanorum ſomniũ repreſentatio quædã eſt: ſic tu mecum vna cubas; aſt illi vacas; me corpore, illũ animo foues: mihi dormis, illi aduigilas.

EIVS-

Περὶ προόδου τοῦ Βαβυλωνίων βασιλέως. δ΄.

ΤΟ ἅρμα, ἐφ' ᾧ φέρεται ὁ Βασιλεὺς ἅπαν ἐλέφαντός ἐστι εἰργασμένον, ἐγγύτατα ἀπήνης Ἑλληνικῆς. αἱ δὲ ἡνίαι τῶν ἵππων εἰσὶ πορφυραῖ ταινίαι. ἐφέστηκε δὲ ὁ Βασιλεὺς σκευὴν ἐσκευασμένος ἐξαίρετον, ἐν ᾗ μήτε θηρᾷ, μήτε δικάζει, μήτε θύει, ἀλλὰ πομπεύει μόνον. ἐστι δὲ ἁλουργὶς χρυσῆ, ἐξ ἴσου γὰρ ὁ χρυσὸς ὕφανται τῇ πορφύρᾳ. φέρει δὲ καὶ σκῆπτρον ἐλεφάντινον, ᾧ τὴν χεῖρα τὴν δεξιὰν μετέωρον ἐρείδεται. ἡγοῦνται δ' ἱππεῖς, σκηπτοῦχοί τε, καὶ σατράπαι, καὶ ἵππαρχοι, καὶ χιλίαρχοι, οἷς τι μέτεστι τοῦ ἔργου, οἱ μὲν

De progreſsu Regis Babyloniorum. 4.

CVrrus, quo Rex vehitur, integer eſt ex ebore factus, rhedæ Grçcorum ſimillimus. Equorum habenæ, faſciæ ſunt purpureæ. Inuehitur Rex inſueto, eximioque habitu ornatus: eum dum induit, neque venationibus, neque iudicijs, neque ſacrificijs vacat, tantùm pompam ducit. Chlamys purpura, auroque grauis; texta ſiquidem eſt purpura æqua auri parte. Sceptrum eburneum tenet, quo dextera ſublimis innititur. Præeunt Equites, Sceptuchi, Satrapæ, Chiliarchi, & Ductores Equitum, quibus id negotij eſt. Pedites ſcutis

πεζοὶ ἀργυρασπίδες. ἔτι δὲ ἀργυροθώρακες, καὶ χρυσοθώρακες, ψελλίοις μὲν τὰς χεῖρας, στρεπτοῖς δὲ δὴ τοὺς τραχήλους κεκοσμημένοι. περὶ δὲ ταῖς κεφαλαῖς οὐ κράνη περιτίθενται, ἀλλὰ ἐπάλξεων σημεῖα, καὶ πύργων στεφανοῦντα τὴν κεφαλὴν, καὶ σκέποντα. καὶ ταῦτα μὲν ἀργύρου, καὶ χρυσοῦ πεποιημένα. ἔστι δὲ ἄλλα καὶ λιθοκόλλητα τοῖς κρείττοσιν. ὀλίγοι δὲ, καὶ στεφάνοις χρυσοῖς ἀναδέδενται, οἷς ἂν ἐκ Βασιλέως δοθῇ. οἱ δ' ἐφ' ἵππων ἐλαύνουσι Νιζαίων, τῶν μὲν τὸν πολεμικὸν τρόπον ἐσκευασμένων, προμετωπιδίοις τε, καὶ στερνιδίοις, καὶ παραπλευριδίοις. καὶ παραμηρίδια τοῖς ἱππεῦσι περίκειται, τῶν δὲ εἰς πομπὴν ἠσκημένων χρυσοχαλίνων πάντων, ὥσπερ εὐδαιμόνων γυ-

tis argenteis, & Thorace, non nulli etiam aureis. manus armillis, colla torquibus decori. Capiti non galeam imponunt, ſed pinnarum, ac turrium inſignia ex argento, non nulla ex auro facta; verùm illuſtrioribus lapillis obducta, quæ caput coronent, & tegant. pauci illi ſunt, qui aurea corona tempora vinciuntur; idque Principis liberalitate. Cæteri equis Niſæis feruntur, quorũ partim, belli more frontalibus, pectoralibus, & lateralibus inſtructi incedunt; equites femoralibus exornantur; partim verò ad pompam compti, aureis omnes frænis, fortunatarum ritu mulierum, cingulis, faſcijs,

ναικῶν. ζωστῆρες τε, καὶ τελαμῶνες, καὶ ἐφίππια, οὐδὲν οὐδὲ τούτων ἐστὶν, ὃ μὴ χρυσήλατόν ἐστιν, ἢ χρυσόπαστον. Τρίχες δὲ τῶν ἵππων οὖλαι διαπλέκονται καθάπερ πλόκαμοι γυναικῶν, καὶ διαδοῦνται, καὶ περισφίγγονται πορφυραῖς τε, καὶ ποικίλαις ζώναις. αἱ δὲ ἐν ταῖς ἱππολοφίαις ἔνθεν καὶ ἔνθεν αἰωροῦνται, καὶ καθίενται κατὰ τῶν αὐχένων, αἱ μὲν ἁπαλαὶ, αἱ δὲ ὀρθαὶ, αἱ δὲ οὖλαι, αἱ μὲν φύσει πεφυκυῖαι, αἱ δὲ διὰ τέχνης ἠναγκασμέναι. πλάττουσι δὲ αὐτῶν καὶ βαδίσματα, καὶ βλέμματα, καὶ νεύματα, καὶ φρονήματα, ἐνίων δὲ καὶ τὰ φρυάγματα, καὶ χρεμετίσματα. πομπευτὴς γὰρ ἵππος πάντα διδάσκεται. πρῶτον μὲν γὰρ αὐτὸς ἐκτείνας εἰς τὸ ἔ-

ſcijs, ephippijs, quorum nullum vel non aureum eſt, vel auro non tectum. Equorum effuſæ iubæ, muliebris capillamẽti inſtar intextæ complicantur, purpureiſque ac varijs tænijs colligantur innexæ: ſed quæ in vertice hinc, & illinc attoluntur, fluuntque per ceruicem, hìc molles aberrant, hìc horrent erectæ, illàc cõtortæ inuoluuntur: hæ quidem pars natura digeſtæ, pars arte coactæ. Effingunt præterea equorũ & greſſus, & aſpectus, & nutus, & ſenſus, quorundam etiam & fremitus, & hinnitus: quippe equus ad põpam comparatus, ad omnia docilis probè informatur. Etenim primùm ipſe in ſolo

pe-

δαφος τοὺς πόδας, καὶ χαμαιπετὴς γενόμενος ἀναβάτην λαμβάνει, καὶ σφριγῶντα, καὶ κάμνοντα, ὁ δὲ ἐπὶ τὸ σοβαρώτερον πεπαιδευμένος οὐκ εἰς γαστέρα καθίεται, ἀλλ' εἰς γόνατα πίπτει, ἵνα δοκῇ τὸν ἱππέα δέχεσθαι, καὶ προσκυνεῖν. ἔπειτα παρέχει ὑγρὰν τὴν ῥάχιν, καὶ κεκαμμένην ἐν τῷ δρόμῳ δίκην ἑρπετοῦ. διδάσκεται δὲ καὶ ῥυθμίζειν ἑαυτὸν, καὶ σχηματίζειν, καὶ ταῖς ῥισὶν ἐμπνεῖν, καὶ τοῖς ὀφθαλμοῖς ἐμβλέπειν, καὶ ὑψαυχενεῖν, καὶ σοβεῖν, καὶ γαυριᾶν, καὶ πάντα ὅσα καὶ ἀθλητὴς ἐπιδείκνυσι τῷ θεάτρῳ. ἐκ δὲ τούτων ὁ μὲν ἵππος εὐειδέστερος φαίνεται, ὁ δὲ ἱππεὺς σοβαρώτερος γίνεται.

pedibus extenſis, ſtratuſque, humi equitem geſtiētem, & laſſeſcentem admittit. Porrò qui ad grauiora eſt edoctus non ſe ſe in ventrem demittit, ſed in genua procumbit; vt equitē videatur excipere ſimul & adorare: deinde dorſum exhibet molle, & in curſu reptilium more inflexum: docetur item, vt ad numerum greſſus cōponat, & dirigat, naribus efflet, oculis circumſpiciat, ceruicem attollat, cum faſtu incedat, ſuperbiat, exequaturque illa omnia, quę Athleta prę ſefert in Theatro. His enim equus ſpecioſior eſt, eques venuſtior euadit.

Θανάτȣ καταφρονήσας ἄνθρωπος δεσπότην ȣ̓κ ἔχει.

Τὰ ἐνύπνια ὑπὸ μὲν τȣ̃ δαιμονίȣ πέμπεται, ὑπὸ δὲ τῆς ἑκάςȣ ψυχῆς τῶν ὁρώντων πλάττεται. καὶ τῆς μὲν φύσεως αὐτῶν ὁ Θεὸς ἐςὶ χορηγὸς, τῆς δὲ ἰδέας ἡμεῖς αὐτοὶ δημιȣργοί.

Φιλαίτιοι τὰς φύσεις εἰσὶν οἱ Βάρβαροι, καὶ πρόχειροι τὰς ὁρμὰς, ὀλίγα μὲν χρώμενοι τοῖς λογισμοῖς, τὰ πολλὰ δὲ τοῖς πάθεσιν εἴκοντες.

Ὅταν ὁ ἔρως ζηλοτυπίαν προσλάβῃ τύραννος ἐκ βασιλέως γίνεται.

Ὀξεῖς οἱ τῶν ἐρώντων λογισμοὶ, καὶ πρό-

Vir mortem contemnens, ſub nullius ditione, ac poteſtate eſt.

Somnia à numine Deorum proficiſcuntur, ſed à videntium animis imagines induunt. Et eorum naturæ vis quædam eſt diuina effectrix : at ſpecies eorũ nos metipſi nobis concipimus.

Contẽtioſi, & pertinaci natura sũt Barbari. eunt alacres, quà impetus illos agit. facta parùm ad rationem exquirentes, vt plurimùm affectibus concitantur.

Amor, obtrectationi obnoxius, ex rege tyrannum induit.

In animis amantium celeres inſunt cogitationes, ad ſuſpicandum faciles, ad coniectan-

χεῖροι ὑποπτεῦσαι, δεινοὶ δὲ εἰκάζαι, ἔνθεοι δὲ μαντεύσασθαι.

Πάντας μὲν ἀνθρώπους ἐξίστησιν ἔρως, Εὐνούχους δὲ ποιεῖ φονικωτέρους, ὥσπερ οἶνος Σκύθας. φονᾷ γὰρ Σκύθης μὲν πιών, Εὐνοῦχος δὲ ἐρῶν.

ctandum, ad diuinandum, præſentiendumq; numine concitatæ.

Amor omnes loco, & certo de ſtatu dimouet; ſed Eunuchos ad cædes, quemadmodum vinum Scythas, procliuiores facit: Scytha enim potus, Eunuchus cupidine percitus mortem infert.

Ἐκ τῶν, εἰς τὰ πάτρια Ῥώμης.

CALLINICI SOPHISTÆ

Ex Antiquitatibus Romanis.

Οὔτε ἡ καθ' ἡμᾶς γῆ πρὸς ἕτερον οὐδὲν ἐναρμοστῶς εἶχεν πλὴν βασιλείας, οὔτε ἡ βασιλεία πρὸς ἄλλο χωρίον οὐδὲν πλὴν ταύτης ἐχώρησεν. Ἡ δὲ τῶν φόρων σύνταξις, οὔθ' ὑμετέρα πλεονεξία γίνεται, οὔτε τῶν διδόντων ζημία, ἀλλ' εἰς τὸ μάχιμον γένος δαπανωμένη, δι' ἐκείνων πάλιν εἰς τοὺς διδόντας ἐπάνεισιν, ὥστε δανείσμασι προσεοικέναι τὸ διδόμενον μᾶλλον, ἢ φόρων ἐπαγωγῇ.

NEc loci huius ingenium æque ad aliud, quàm ad Imperium accommodatum; neq; aliud vſquam ſolum tanti imperij capax fuit. Tributorum exactio neque nobis in immodicæ cupiditatis quæſtum, neque in pendentium damnum exſoluitur, ſed in bellatores milites erogata, rurſum per eos in conferentium poteſtatem redit. ita vt potiùs mutua dari pecunia, quàm ſolui vectigalia videantur.

Ale-

Ἀλέξανδρος μὲν γὰρ οὐδὲν τῆς περὶ Κλέαρχον σεμνότερον διεπράξατο, ἀνδρῶν κρατήσας ἀνανδρίᾳ συντρόφων, ἐκκλίνας τοὺς εἰδότας νικᾶν, πρὸς δὲ Πέρσας ἀγωνισάμενος τοὺς παιδευθέντας ἡττᾶσθαι. ταὐτὸν παθὼν τοῖς ὄναρ εὐτυχοῦσιν, ἐν τῇ τῆς εὐτυχίας ἀκμῇ καταλύσας αὐτήν, καὶ τοσοῦτον ἄρξας τὸν ἅπαντα χρόνον, ὅσος ἡμῖν οὐκ ἀρκεῖ τὴν ὑμετέραν ἐπελθεῖν.

Τοῖς μὲν οὖν πολλοῖς εἴρηται, τυφλῶν εἶναι ζημίαν, τὸ μὴ τὸν ἥλιον βλέπειν. ἐγὼ δ' ἂν ἐπὶ τῶν θεωμένων φησαίμι, τὴν ἴσην εἶναι ζημίαν, εἴ τις μὴ ταύτην θεάσαιτο. καὶ τῶν παρελθόντων εἰς

Alexander nihil ſanè grandius illis, qui cum Clearcho militię nomina dederunt, deuictis hominibus effeminatis, patrauit: dum exāminata bello pectora, victoriaſque parare ſueta declinans, cū Perſis vinci minimè neſcijs certamen inſtituerit. Similia paſſus ijs, qui per inſomnia sūt fortunati, in ipſo felicicitatis flore principatu deſtructo. Qui tandiu regnauit, quādiu noſtrum imperium peragrari vix poteſt.

Multorum itaque ſermone peruulgatū eſt, Magnum damnū cæcis eſſe, ſolem non aſpicere: Verùm ego dixerim, eos, qui vident non minùs accipere detrimenti, ſi Romæ imperium non viderint. Et qui lucis huius vſura fruuntur, qui ditionis noſtræ,

φῶς, ὅσοι μὲν ἀπείρατοι τῆς ὑμετέρας ἔμειναν, νόθον τινὰ βίον, ὡς εἰπεῖν, διαντλοῦσιν, ὅσοι δὲ ἐν πείρᾳ γεγένηνται, γνήσιοι τοῦ βίου μέτοχοι, καὶ πλέον τῶν ἑτέρων διαλάττουσι, ἢ τῶν βεβήλων οἱ τελεσθέντες.

vim aſpectu nō vſurparunt, vitam ſibi minimè legitimam, vt ita dicam, ſatiſque laborioſam metiuntur. qui verò eam experimento cognouerunt, vt par eſt, vitæ participes ſunt, præcelluntque alijs magis, quàm profanis ij, qui myſterijs ſacrorum initiati ſunt.

ΙΣΑΑΚΙΟΥ

ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ

Περὶ τ̃ καταλειφθέντων ὑπὸ τ̃ ΟΜΗΡΟΥ.

ISAACII

PORPHYROGENNETÆ

De prætermiſſis ab Homero.

Leone Allatio Interprete.

Μέχρι τοῦδε τοῦ τάφου τοῦ Ἕκτορος ὁ ΟΜΗΡΟΣ τῶν κδ´ Γραμμάτων τὸ ποίημα συνεπήρτισεν. τὰ δ᾽ ἑξῆς ἐκ παλαιῶν ἱστορικῶν πόνῳ πολλῷ συλλέξας ΙΣΑΑΚΙΟΣ ὁ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΣ διέθηκεν, εἰς εἴδησιν τῶν καταλειφθέντων παρὰ τοῦ ΟΜΗΡΟΥ, καὶ γεγονότων περὶ τὴν Τροίας τὴν ἅλωσιν.

Ad ſepulchrum vſque Hectoris HOMERVS viginti quatuor litterarum Opus concinnauit: quæ ſequuntur, ex varijs Scriptoribus ingenti labore ISAACIVS PORPHYROGENNETA digeſſit; ad eorum, quæ prætermiſit HOMERVS, & quæ circa Troiæ excidium euenere, cognitionem.

Ὁ Σοφώτατος ΟΜΗΡΟΣ πόνῳ πολλῷ τὸ παρὸν τῶν

HOMERVS, qui ſapientia munitum pectus egregium

κδ' Γραμμάτων πολυθρύλλητον ἐκτελέσας ἀγώνισμα, πολλαῖς τε, καὶ ποικίλαις κατακαλλύνας αὐτὸ λέξεσι, καὶ ὑφηγηματικοῖς ἐννοήμασι, καὶ τὴν τῶν παρόντων Γραμμάτων ὑφὴν τὴν προστιθεμένην πάντως ἐκφράσας, τὸν τρόπον τῆς πανωλεθρίας Τρωικῆς ἁλώσεως, τοῦτον, οὐκ οἶδ' ὅπως, τοῖς ἀκροωμένοις, καὶ ἐντυχοῦσι τῇ παρούσῃ βίβλῳ, οὐδ' ὁποσοῦν διεσάφησεν. κ. τὰ περὶ τῆς ἁλώσεως πάντα καλῶς καταλέξας ὁ τοιοῦτος σοφώτατος ΟΜΗΡΟΣ, ἡρωϊκοῖς στίχοις, καὶ λέξεσιν πάντα πανευφυῶς, καὶ καλῶς, καὶ κατ' ἔπος διασαφήσας τοῖς ἐντυγχάνουσιν, καὶ μᾶλλον τὰ [illegible]

gium gerebat, edomitis, exudatisq; laboribus, præſente viginti quatuor Litterarũ, longè lateq; per ora omnium vagante, certamine perſoluto; multisq; ac varijs orationis formulis, nec non narrationibus, ac ſententijs, harum litterarum textura colluſtrata, ac expedito ſatis commodè argumento ſibi propoſito, internecionis, atq; Troiani excidij modum, (quanam ipſe ratione ductus id egerit, non dum mihi in comperto eſt) tum audientibus, tum poſſeſſione operis fortunatis neutiquam indicauit: licet, quæ ante excidium euenerant, omnia probè admodum ſapientiſſimus Vir heroicis carminibus emenſus, ſermone robuſto, fluido, catoque, & carminum recta ſerie,

atque

καιριώτερα τῶν προστεθειςῶν ὑποθέσεων, ἁρπαγὴν Ἑλένης, ἀναίρεσιν Ἕκτορος, Ἀχιλλέως τὴν μήνιδα, ἡγεμονίαν τοῦ Ἀγαμέμνονος, Μενελάου μέγα δυστύχημα, Πατρόκλου τὸν θάνατον, τὴν ταφὴν ἐκείνην τὴν πάνδημον, καὶ τὴν περὶ τούτου τύμβον τούτου Ἑκτόρειον σύρσιν, τὴν καὶ κυκλικὴν περιφέρειαν, τὴν λυσσώδη ταύτην, καὶ ὄντως ἐφύβριστον, καὶ τ' ἄλλα πάντα, συλλήβδην εἰπεῖν, ὅσα περ τῶν Γραμμάτων τούτων πανσόφως ἀνακηρύττειν οἶδεν ἡ δύναμις. ταῦτ' οὖν ἐκτεθεικὼς ὁ Ποιητὴς ἅπαντα, καὶ τερματώσας οὕτω τὰ ἐκτεθέντα, τῷ Ἑκτορείῳ τάφῳ, καὶ τῇ τούτου ταφῇ ἐσιώπησεν, μηδέν τι τοῦ τέλους τῆς Τρωϊκῆς ἁλώσεως ἐξαί-

atque ex propoſita materia potiſſima præcipuè, legentibus opus complanaſſet, raptum Helenæ, Hectoris necem, Achillis iram, Agamemnonis imperium, haud æquo ferendum animo Menelai infortunium, Patrocli cædem, ſepulturam illam vniuerſi populi conuentu celeberrimam, & circa illius ſepulcrum orbiculatum, væſanũ, & iniurioſum Hectoris tractum, cęteraq; omnia, vt ſummatim dicam, quæ harum Litterarũ facultas quàm aptiſſimè, æquè ac vox præconis denunciat. Hęc cùm ſingula Poëta expoſuiſſet, & ſepulcro Hectoris, illiuſque ſepultura rē abſoluiſſet, conticuit, neque mihi Troiani ex-

γέλας μοι, καὶ τῇ παρούσῃ βίβλῳ ἀνατάξάμενος, ὡς ἂν ἔχοιεν οἱ ἐντυγχάνοντες αὐτοὶ κατὰ τοῦ συμπεράσματος, τῆς ὅλης φημὶ ὑποθέσεως, μεγίστην χειραγωγίαν, καὶ ἐπικουρίαν οὐκ ἀγεννῆ τῆς ὅλης τοῦ πράγματος γνώσεως. οὐδὲν γὰρ ἀτέρματιστον, ὅπερ σαφεστάτην τῆς προκειμένης πράγματος παρίστησι τὴν ὁλότητα, τῆς ἀρχῆς, καὶ τοῦ τελικοῦ τέρματος πάντως τὰ μεταξὺ περατούντων τε, καὶ εἰς ὅρον συσφιγγόντων συλλογιστικῶς πως ἕνα τῆς γνώσεως. ἀλλ' ὁ μὲν Ποιητὴς, οὐκ οἶδ' ὅπως, ἧπερ ἔφην, τὰ ἐφεξῆς τῇ ἀρχῇ συνείρας τῆς ὑποθέσεων, οὐκ εἶπεν ἐν τῷ τέλει καὶ τοὺς τρόπους αὐτοὺς τῆς ἁλώσεως, οὔτε μὴν τὸν παράνομον, καὶ ἀνόσιον φόνον Πριάμου, τοῦ καθηγεμόνος ἐκείνου τῶν Τρώων,

excidij ſine enarrato, neque in libros digeſto; vt haberent ſibi legentes ex totius argumenti concluſione promptũ adminiculum, & validum ad rei totius cognitionem adiumentum: Nihil enim ſine, terminoque caret, quod clariſſimã materiei propoſitæ repręſentat integritatem, cùm principium, & meta vltima intermedia abſoluant, & in vno cognitionis limite, quaſi ratiocinatione cõcludant. Veruntamen Poëta, neſcio qua ratione, vt iam dixi, principio, quæ ſubſecuta ſunt, complicãs, in fine facilè diſſimulauit, & conditionem ipſam exciſionis, & exlegem, atque iniquam Priami ſenis, & Tro-

καὶ γέροντος, καὶ τὴν διά-
θεον ἁρπαγὴν τῆς Ἑλέ-
νης, καὶ τῆς ἀθλίας Ἑ-
κάβης τὴν τεθρυλλη-
μένην αἰχμαλωσίαν,
καὶ τῶν παίδων πάντων
αὐτῆς πικροτάτην ἀναί-
ρεσιν, ναὶ μὴν καὶ τὸ
ἀλγεινότερον αὐτῇ τὴν τῆς
ποθουμένης θυγατρὸς Πο-
λυξένης διὰ μαχαίρας
ἀναίρεσιν τὴν δυσδαί-
μονα. ἀλλ' οὐδὲ τὸν τοῦ
τεθρυλλημένου Ἀχιλ-
λέως φόνον ἡμῖν διεσά-
φησε τὸν ἐπίκλοπον, ἄλ-
λων παλαιῶν ἄλλα τῶν
ἐν τούτοις ἠριθμημένων
ἀναταξαμένων τοῖς πίνα-
ξιν. ἐγὼ δὲ προνοίᾳ τῆς
ἀκριβεστέρας τοῦ πράγ-
ματος γνώσεως, καὶ τῇ
τῶν ὁμοφύλων εὐνοίᾳ τῇ
εὐαρεστηκούσῃ Θεῷ, πόνῳ
τὰ παρὰ τοῦ Ποιητοῦ πα-
ραλειφθέντα, καὶ σποραί-
δην διαφόροις παλαιῶν

Troianorum princi-
pis cędem, & Deo in-
uiſum Helenæ raptũ,
& miſeræ Hecubæ la-
tè diffuſam captiuita-
tem, & illius filiorum
omnium amariſſimũ
interitum, nec non,
quod ferè miſeram
exanimauit, dilectam
filiam Polyxenã tran-
ſacto enſe infortuna-
tè contrucidatam. ſed
neque nobis decan-
tatam Achillis, aſt
fraudulentam necem
aperuit: licet antiqui
alij, quæ cum his ad-
numerantur, alia ſcri-
ptis ſuis commenda-
rint. Ego verò id cu-
rans, vt accuratior de
re cognitio habeatur,
compulſus genere
mihi proximorum a-
more, qui placitus
Deo eſt, non ſine la-
bore, quæ Poëta præ-
termiſit, ſparſimque in varijs antiquorum

βίβλοις ἐγκείμενα, ἱστορίαις τε, καὶ ὑφηγήσεσι συλλέξας τῷ παρόντι πέρατι τοῦ Ὁμηρείου βίβλου συνεπτυγμένως ἐκτίθημι, οἷά περ τις, ὡς εἰπεῖν, ἐντυχὼν καλλίστῃ ῥοδωνιᾷ πάντοσε μὲν πέριξ κατὰ κόσμον γεφυρωμένῃ, καὶ περιπεφραγμένῃ θριγγοῖς, περὶ δὲ τὸ ἓν μέρος τούτων ἐστερημένῃ παντάπασιν, προνοητικῶς τὸ μέρος ἐκεῖνο τὸ ἄφρακτον τοῦ ἐπιθρίγκου, καὶ περιστύλου γυρώματος, θριγγῶν ἀνεπλήρωσα, ὡς ἂν ὁ λειμὼν ἐκεῖνος ὁ ῥοδωνιαῖς περιστεφόμενος ἔχῃ κἂν τῶν προστεθέντων θριγγῶν τὴν τελεωτέραν ἀσφάλειαν· καὶ δήπερ λοιπὸν τὰ παρ' ἡμῶν συλλεγέντα κατὰ τὴν ἡμετέραν τῆς διανοίας ἀσθένειαν, καὶ τῆς γλώσσης τὸ ἄπορον, τῇ παρούσῃ βίβλῳ φιλοπόνως ἐκθή-

monumẽtis, hiſtorijs, ac narrationibus cõperiuntur, collecta, in hoc Homerici Libri limite clarè, apertèque diſpono; non aliter ac ſiquis, vt ita dicam, pulcherrimũ, ac vndique pro decore circunſeptum, circumuallatumque roſetum, tantùm vna ſui parte apertum, ac omnibus peruium reperiens, prouidenter partem illam, immunitam, vallis ac colũnis redimito circuitu cum alijs colligans circumduxi, vt pratum illud roſetis nobile ex appoſita circumuallatione abſolutius ſortiatur munimentum. Propterea, quæ nos pro noſtri intellectus modulo, linguæque imbecillitate decerpſimus pręſenti

στομένου, μὴ μέζοις ἡρωϊκῶν στίχων, καὶ λέξεων οἷάπερ τοῖσδε τοῦ Ὁμήρου ἀπομιμησάμενοι. τοῦτο γὰρ ἐπίπονον μάλιστα, καὶ ἐργωδεστέρας ἐστὶν ἐγχειρήσεως, ἀλλ' ὕφους ἁπλότητι, καὶ πεζῇ τῇ λέξει, καὶ εὐκρινείᾳ τῆς ὑποθέσεως. οὐ γὰρ καλλιεπείας ῥημάτων ἐνταῦθα χρεία, καὶ κτύπου ἠχήεντος, καὶ κόμπου περικροτοῦντος τὴν ἀκοήν, κατὰ τοὺς τῶν ῥητορικῶν λόγων ἄξονας, ἀλλὰ μόνης τῶν καταλειφθέντων πάντως τῆς κατὰ λεπτὸν ὑφηγήσεως, ὅπως οἱ τῇ παρούσῃ βίβλῳ προστυγχάνοντες, καὶ μὴ πλείω πονῆσαι βουλόμενοι εἰς τὴν τῶν ἐκτιθέντων νυνὶ παρ' ἡμῶν ἐκ διαφόρων βίβλων συναθροισιν ἔχοιεν ὄψον, οἷάπερ

ſenti Libello perbenignè communicabimus, non heroicorum carminum, nec orationis maieſtate Homerum æmulati, id namq; maximè laborioſum eſt, & improbum conatũ expoſceret, ſed ſimplici rerum ſerie, pedeſtriq; dicendi norma, & dilucida rerum enarratione. Neque enim hìc præclara ſermonis eloquentia, & grandeſonãtibus verbis, ſtrepituque aures percutiente, vt Rhetorum nos Tabulæ admonent, ſed nuda geſtorum ab alijs derelictorum, & exacta diſpoſitione opus eſt; vt hi, qui in librum inciderint, & laborem auerſantur, in hac à nobis ex varijs Scriptorum monumentis digeſta Ecloga, appoſita hæc

ve-

εὔθρυπτόν τε, καὶ ἀπονώτερον ταυτὶ τὰ παρακείμενα. καὶ τὸν πρὸς τὸν Κύριον εὐχαῖς δεξιῶνται τὸν ἐς συλλογὴν τῶν παρόντων εὐνοίᾳ τῶν ὁμοφύλων πονήσαντα. ἔχει δ' οὕτως τῶν λεχθησομένων, καὶ προσκειμένων ἡ ἑρμηνεία, καὶ δύναμις.

Ἡ κακοδαίμων Τροία τρὶς ἑάλω ἡ δύστηνος. πρώτως μὲν ὑφ' Ἡρακλέους ἐκείνου τοῦ φρικτοῦ, καὶ περιβοήτου. δεύτερον δ' αὖ ὑπὸ τῶν λεγομένων Ἀμαζόνων, τῇ τῶν μαζῶν ἐκτομῇ. τοὺς γὰρ δεξιοὺς μαζοὺς αὗται πάλαι ἀπέτεμον τῇ μαχαίρᾳ, πρὸς τὸ ῥαδίως, καὶ ἀνεμποδίστως κραδαίνειν, καὶ ἀναπάλλειν τὰ δόρατα. θρυλλούμεναι

veluti condimentum habeant facilè friabibile, ac promptius; & effuſis in Deū precibus, Deum illi propitium reddant, qui genere ſibi deuinctorum beneuolētia fretus, in ſimilibus recolligendis laborem inſumpſerit. Rerum porrò dicendarum, deſcribendarūq; expoſitio, ac facultas ita ſe habet.

Miſera, infortunataque Troia ter capta eſt: primùm quidem ab Hercule, formidabili illo, ac nominatiſſimo: ſecundùm ab Amazonibus ex ſciſſura mammarū nuncupatis: illæ nanque dexteras ſibi māmas antiquo æuo ferro abſcindebant, vt faciliùs, & nullo impedimento haſtas contorquerent, ac quaterent. ipſæ, ob animi in bellando fortitudinem, glo-

γὰρ αὐτοὶ τῇ τῆς ψυχῆς ἐν μάχαις ἀνδρείᾳ πᾶσιν ἐτύγχανον. κατὰ δέ γε τρίτην εἰσβολὴν πολέμου τὴν περιβόητον ὑπὸ τῆς τῶν Ἑλλήνων αὐτῶν τοῦ στρατεύματος συγκροτήσεως ὁ τῆς Τροίας ἑάλω περίβολος, περὶ ἧς Ὅμηρος πᾶσαν τοῖς γράμμασι συνεστήσατο τὴν ὑπόθεσιν. καὶ δήπερ ὁ Λαομέδων πατὴρ ὢν Πριάμου τοῦ γέροντος, καὶ μέγας τῷ τῆς ἐξουσιαστικῆς χειρὸς κράτει, πρῶτος ἠβουλήθη τὰ τείχη τῆς Τροίας ἐκ βάθρων συστήσασθαι. ἐντεῦθεν φροντίδι τούτου πολλῇ τοῦ πράγματος πιεζόμενος, ὅπῃ κρείττονος τόπου τεχνικῶς ἑδράσει, τὰ τοῦ Ἀπόλλωνος ἔμφροντις ἐρωτήσων περὶ τοῦ ἄστεος τῆς συμπήξεως, ᾧ καὶ τὰ

gloriam ſibi apud omnes, & famam pepererant. Tertiò poſtmodum irruptione hoſtium celeberrima, Græco exercitu cõſpirãte, Troiana mœnia direpta ſunt. id argumentum vniuerſum libris ſuis, quibus ex literis nomen eſt, Homerus pertractauit. Laomedon quippe Priami ſenis pater, & dominatu gentiũ ſibi vectigalium præpotens, primus ad Troiana mœnia à fundamẽtis erigenda animum aduertit. Hinc cura anxius, & negotiò oppreſſus, quonam in loco meliùs, artificioſiùſque rem cõſtabiliret, ſolicitus, ad Apollinis oracula greſſum dirigit, de extructione Vrbis percontaturus. cui hunc in modum reſponſum

eſt:

ῥήματα ταῦτα πεφοίβαστο, ὡς, ἔνθα Βοῦς ἔνθεν, κἀκεῖθεν πλαζομένη, καὶ ἀτάκτοις συμπεριφερομένη κινήσεσι στῇ, καὶ ἀτρεμήσασα, κατὰ τόνδε τὸν τόπον τὰ βάθρα τοῦ ἄστεος συμπεπήχθωσαν, ἦν δὲ κεκρυμμένως πως τὸ προφοίβασμα τόδε. τὴν ἐσομένην κατὰ τὸν χρόνον ἐκεῖνον πανώλεθρον βολὴν τῇ Τροίᾳ συντεκμαιρόμενον. ἡ γὰρ Βοῦς τὴν βολὴν, ὡς εἰπεῖν, σαφῶς ἀνεκήρυττε. καὶ ἡ πλάνη ταύτης, καὶ ἄτακτος κίνησις τὴν πλάνην τοῦ Λαομέδοντος περὶ τὴν κτίσιν τῆς Τροίας, καὶ τὴν ταραχὴν τῆς πορθήσεως αὐτῆς οἰκτρῶς ὑπεσήμαινε, τῆς τῶν πραγμάτων ἀποβάσεως συμμαρτυρούσης μοι πάντως, τὴν περὶ ταῦτα λέγω ἀλήθειαν. οὕτω τὰ μὲν ἔφη τὸ φοίβασμα, τὰ δὲ κρυπτῶς

eſt; Vt, vbi Bos, hàc atque illàc oberrans, & inordinatis motibus concitá, pedem fixerit, manſeritque, ibi vrbis fundamenta iaceret. Veruntamen Oraculũ hoc obſcurè enunciatum, futurum eo tempore vrbis excidium internecionemq; innuebat. Bos enim *βολὴ*, excidium ſcilicet, vt ita dicam, manifeſtò deſignabat; & error illius, & motus inordinatus, Laomedontis in Troia extruenda errorem, & illius vaſtationis turbas miſerè prædicebat. Rerum euẽtus dicto meo teſtimonium præbet, illudque verum eſſe confirmat. Hac ratione, partim quidem palam Oraculum edixit, partim obſcurè

enun-

ἐτεκμήρατο. καὶ δήπερ ὁ Λαομέδων ἀκούσας αὐτοῦ τοῦ φοιβάσματος, ἐγεγήθει τούτῳ, καὶ ἑώρα περιεργότερον, ποῦ ἂν Βοὸς τύχῃ τῇ ὄψει τῆς ἐσιεργηζάσης τὸ φοίβασμα, ὡς ἂν τῇ τοῦ Βοὸς στάσει, σωτηριωδῶς δῆθεν συμπήξῃ τὰ τοῦ ἄστεος θέμεθλα, τῇ τοῦ μέλλοντος ἀπάτῃ σαινόμενος. ἀλλὰ δὴ μετὰ μικρὸν τὸν Βοῦν κατὰ τὸ φοίβασμα περιπλανωμένην ἱστόρησεν, καὶ τὴν στάσιν ἰδεῖν αὐτῆς ἅμα ἐγλίχετο, ὧν εὐθέτως κατὰ τὴν ἑαυτοῦ τυχὼν ἔφεσιν, πόνῳ πολλῷ τεκτονικῆς ὁμηγύρεως, ἐκ βάθρων τὰ τείχη τῆς Τροίας αὐτὸς συνεστήσατο, ἔνθα πάντως ἡ Βοῦς ἀκινησίᾳ τοὺς πόδας ἐστήριξεν. ἐπεὶ δ' ὁ Ποσειδῶν Θεὸς αὐτὸς ὁ

enunciauit. Accepto Laomedon Oraculo, lætitia exultans, curioſiùs oculos quaquauerſum conijciebat, An ſicubi Bos appareret, quæ finem Oraculo poneret, vt ipſe poſtmodum illius ſtatione ſalutariter, rerum futurarum fraude delinitus, vrbis conflaret fundamenta: nec multò poſt, vt Oraculum prædixerat, Bouem pererrantem conſpexit, cuius etiam ſtationem intuendi cupiditate ardebat, & cùm id minimè præter expectationem ſucceſſiſſet, non ſine plurimorum artificũ, multis ex locis coactorum, labore, Troiana moenia ipſe à fundamentis exſtruxit, vbi Bos immota ſtans pedem fixerat. Cùm verò Neptunus Marinus

Θαλάσσιος, καὶ Ἀπόλλων ὁ τούτου ὁμαίμων κατὰ τῆς τοῦ Διὸς τοῦ πατρὸς αὐτῶν βασιλείας ἐπικλόπως μεμηχανήκασιν, ὅπως τῆς δόξης τοῦτον καταβιβάσειαν, ὑπὸ τοῦ πατρὸς δ' οὗτοι συνενοήθησαν, καὶ τὸ τούτων πάντως σκαιώρημα, εἰς ποινηλασίαν ἐντεῦθεν, καὶ ὕβριν τῶν ἐπιβουλευσάντων, ὁ πατὴρ τούτους τῆς αὐτῶν ἐξουσίας μετέστησε, καὶ τῷ Λαομέδοντι δέδωκεν εἰς ὑπουργίαν, καὶ μὴ βουλομένους, τῆς Τρωϊκῆς κτίσεως. τοίνυν αὐτοὺς λαβὼν ἀμφοτέρους, καὶ ὑπαγαγὼν εἰς μισθαρνείαν τοιαύτην ἐφύβριστον, τὸν Ποσειδῶνα, ὡς ἔοικεν, ᾤκτειρεν, ἢ καὶ φοβηθεὶς, οὐκ οἶδ' ὅπως, οἷα Θεὸν, δοῦναι τούτῳ μισθὸν τῆς μισθαρνείας ὑπέσχετο μετὰ τὸ συναπαρτισθῆναι τὸ τεῖχος τοῦ ἄστεος. οὗ τελεσθέντος ὁ

nus Deus, illiq; Apollo germanus, in Iouis parentis imperium ſubdolè inſidias ſtruxiſſent, vt eum à ſolio deijcerent; flagitij comperti, & eorum artibus eluſis, vt inde pœnas ob inſidias ſibi debitas luerent, noxamque ſubirét, proprio dominatu dimoti, Laomedonti licet inuiti, ad Troianę ędificationi ſubſeruiendum à Parente tradũtur: ille itaque vtroſq; acceptos mercenario operi, & iniurioſo ſubegit. Sed Neptuni, vt apparet, miſertus, vel eum tanquam Deum, neſcio qua ratione, metuens, locatæ operæ mercedé poſt muros Vrbis abſolutos promiſit; verùm vrbe cõdita mercedé inficiatur. Quare

Ne-

Λαομέδων αὐτὸν διεψεύσατο. καὶ δήπερ ὁ Ποσειδῶν ἀχθόμενος τῆς ἀπάτης ἕνεκα, εἰς πυθμένα πάλιν θαλάσσιον ὑπενόστησεν, οὗ καὶ πρώτως διέτριβεν. ἀτὰρ ἐφρόντισεν ἀξυνέτης παρ' αὐτοῦ ἐπαχθιζομένης ὀργῆς τῷ Λαομέδοντι. κἀντεῦθεν τὸ κῆτος εἰς λιμένα τῆς χώρας αὐτοῦ θυμωθεὶς ἐξαπέστειλεν. ὃ δήπερ βλοσυρῶς ἐξηφάνιζε λίαν τὰ παρακείμενα. ἀμέλει τὴν πανώλεθρον ταύτην φθορὰν ὁ Λαομέδων θεασάμενος, πάλιν τῷ μαντείῳ προσῆλθε, καὶ τὸν τρόπον μαθεῖν ἐζήτει τῆς τοῦ δεινοῦ ἐπιλύσεως. καὶ ἤκουσε τοιούτου φοιβάσματος. ὡς, εἰ τῷ κήτει τὸ σὸν ἐκδώσεις, ὦ Λαόμεδον, θυγάτριον, τὸ δεινὸν συντόμως παυθήσεται. ὁπηνίκα λοιπὸν τοιούτου φοιβάσματος ὁ

Neptunus fraude indolens rursũ in maris ima, in quibus & antea commorabatur, reuertitur; poſtmodum in Laomedontem infortunium inſtruit, & immanem Piſtricem in regionis illius portum, ira exaſperatus, immittit: quæ erumpens obuia crudeliſſimè omnia perdebat. Tantam internecionem, & cladem Laomedon intuitus, iterum ad Oraculum concedit, opportunum conquirẽs mali remedium; cui eiuſmodi Oraculum prolatum eſt; Si tuam ò Laomedon, Filiolam Piſtrici dedas, noxa illicò ceſſabit. Suo capiti ominatũ Oraculum audijt miſer, & necem filiæ vniuerſæ regionis exitio præ-

ταλαίπωρος ἤκουσε, τὴν φθορὰν τῆς θυγατρὸς δευτέραν τῆς διαφθορᾶς παντὸς τοῦ χώρου συνηγάγισατο. ὅθεν παρὰ αἰγιαλῷ, καὶ παρὰ τῆς θαλάττης φλοίσβῳ ξένως προσήνεγκε θυγατέρα φύσεως παρὰ γνωρίσματι ἵνα τὸ κῆτος τοῦ βυθοῦ τῆς θαλάττης φρικτῶς ἑρπύσαν, ὑπὲρ ῥοιζήσῃ χανδὸν τουτὶ βαβαὶ τὸ θυγάτριον: ὁ τοίνυν Ἡρακλῆς διερχόμενος εἰς τὴν Τροίαν, καὶ μυηθεὶς τὰ γινόμενα, ἤρετο τὸν Λαομέδοντα, τί ἂν καλὸν πρὸς τοῦτον ποιήσει, εἰ τὸ κῆτος ἀναιρήσει, καὶ τὴν παῖδα τῆς τούτου βορᾶς ἐκλυτρώσηται. κἀντεῦθεν ἑτοίμως ὁ ἐρωτώμενος, ἵππους ἀθανάτους δοῦναι τούτῳ ὑπέσχετο, εἰ τὴν παῖδα λυτρώσεται. καὶ ὁ Ἡρακλῆς σφόδρα τὸ ὑποσχεθὲν δῶρον ἀποδεξάμενος, τεῖχον τι-

præponens, in littore & marinorum fluctuum ſtrepitu filiam ſibi cariſſimam, non ſine popularium admiratione, expoſuit, vt Piſtrix è profundo maris horribiliter repens, exilienſque filiolam, heu miſeram! auidis faucibus deglutiret. interim Hercules Troianos campos obiens, & factum reſciens, à Laomedonte, quodnam ipſe donum par Piſtricis neci, & ex eius faucibus filiolæ liberationi cõtra compararet, expoſcit? Abiecta omni cunctatione Laomedon, immortales illi equos, ſi modò filiam ex periculo eriperet, ſpondet. Et Hercules promiſſum munus lubentiſſimo animo excipiens, ſui ipſius pro-

ἵνα πρὸς σκέπην τοῦτο περὶ τὴν ἀκτὴν τῆς θαλάττης ἐτεκτήνεν. ᾗ τινι τὸ κῆτος ἐξ ἔθους προσέβαλλε, τοῦ βυθοῦ ὑφαλλόμενον. ἐντεῦθεν πανοπλίᾳ ἑαυτοῦ τὸ σῶμα ὁ Ἡρακλῆς ἀσφαλισάμενος ὑπὸ τὸ τεῖχος ἐκάθητο, οἷάπερ αὐτίκρυς ὠμοβόρος λέων, καὶ ἄγριος λόχῳ ὑποκρυπτόμενος, καὶ προσεκδεχόμενος ὀπέτως θήραμά τι διαῤῥῆξαι τοῖς ὄνυξιν, καὶ τῷ τοῦ δεινῶς βρυχωμένου στόματος ἕρκει. ἀλλὰ τὸ κῆτος ἤδη τοῦ θαλασσίου πυθμένος ἐξέθορεν ὑποῤῥοφῆσαι μηχανησάμενον τοῦ Λαομέδοντος τὸ θυγάτριον, περὶ τὸν αἰγιαλὸν ἑδραζόμενον, καὶ οἰκτρὸν τοῦτο προβληθὲν τῷ κήτει παρὰ πατρὸς θήραμα. ὅτε τοίνυν τὸ κῆτος τῷ αἰγιαλῷ προσεπέλασεν, τὸν σκοπὸν συμπεραιτῶσαι γλιχόμενον, καὶ τὸ παμφά-

propugnandi gratia, murum in maris littore, quò Piſtrix pro more è profundo ſaliens irructabat, erexit. demũ corpus vniuerſum armis pręmuniens, ſub muro, qualis Leo, planè crudis veſcens carnibus, ac inhumanus, ex inſidijs latens, & promptam ſibi prędam vnguibus, atque horridè frendentis oris ſepimento dilaniandã animo voluens, inſederat. Cùm Piſtrix ab imo fundo ſeſe tollit. Laomedontis filiam littori affixam, capturam ſibi à Patre propoſitam voratura; eaque in littus appulſa, deſideria, votaque explere percupiens,

γον τούτου στόμα ἀπλέτως ἀνέῳξεν, τότε δὴ τότε ὁ Ἡρακλῆς ὁρμήματι λεοντίῳ, ὢ τῆς φρικτῆς τόλμης, τοῦ τείχους ἐξώρμησεν ἔνοπλος, τοῦ πρὶν αὐτὸν περισκέποντος, καὶ οὕτως εἰς τὸν πυθμένα τοῦ κήτους τὸ περιγάστριον ὀξυρρόπως ἐχώρησεν, πύλην οἷάπερ τῆς εἰσόδου τῷ κήτει χρησάμενος στόματι. τὸν θῆρα λοιπὸν αὐτὸν τὸν ἀκαταγώνιστον διὰ ξίφους τῶν ἐντὸς παραδόξως ἀνῄρηκεν, καὶ τὴν χώραν οὕτω, καὶ τοῦ Λαομέδοντος τὸ θυγάτριον τῆς φθορᾶς ὁ δεινὸς ἠλευθέρωσεν, καὶ τὴν ἐκπλήρωσιν αὖθις ἐζήτει τῆς ὑποσχέσεως. κἀντεῦθεν ἀντ' ἀθανάτων ἵππων κλοπευτικῶς θνητοὺς τῷ Ἡρακλεῖ ἀποδέδωκεν. ἀλλ' αὖθις τ̃

omniuoras fauces immane quantùm aperuit; tum quoq; Hercules, impetu ſanè leonino, ò tremendam audaciam! ex muro eum antea occulente armatus ſeſe proripuit, & in ventris profunda per os Piſtricis tamquã per portam, velociſſimè inſilijt, & beſtiam inexpugnabilé diſſectis enſe viſceribus, admirantibus omnibus, interemit. Hac adeo ratione loca illa, & Laomedontis filiã ab interitu, inuictus ille vindicauit, & promiſſa, vt ſeruarentur, poſcebat. Veruntamem Laomedon, Equorum immortalium loco, mortales Herculi fraudulenter exhibuit; qui fraudem & iniuriam iniquo animo ferens, domum ſe re-

ὕβριν τῆς ἀπάτης μὴ φέρων, ὑπεχώρησεν οἴκαδε, καὶ εὐθὺς τῆς Ἑλλάδος νῆας ἓξ στρατιωτῶν ἐνόπλων πληρώσας, παραγίγνεται βοηθείᾳ στρατιωτικῆς ἰσχύος εἰς Τροίαν, καὶ ταύτην ἐπόρθησε, καὶ ἀνῄρηκε τὸν Λαομέδοντα, κατασκάψας ἅμα, καὶ τὸν τῆς Τροίας περίβολον. ἀλλ' ὁ μὲν Ἡρακλῆς ταῦτα μαχίμως πράξας, ὑπέστρεψεν οἴκαδε. ὁ δὲ υἱὸς τοῦ φονευθέντος αὐτοῦ Λαομέδοντος Πρίαμος ὀλεθρίως τὴν πόλιν ἐκείνην Τροίαν ἐκ βάθρων πάλιν ἀνήγειρεν. κἀντεῦθεν ταύτης εἰς τὸ ἑξῆς, καὶ τῶν περὶ αὐτὸ ἐβασίλευε, δυστυχίας ἀφράστου πτῶμα πεσὼν ὁ ταλαίπωρος ὑπὸ ἡλίου τε, καὶ ταύτην τὴν Ἴλιον. μετὰ γὰρ τὴν ἅλωσιν ταύτης τὴν διὰ τοῦ Ἡρακλέως ἐκείνου, αὐτῇ ἐπεισφρήσασαι αἱ Ἀμα-

ſe recepit, ſtatimque è Græcia ſex naues armatis militibus implens, militari fretus, potentia Troiam reuertitur, quam capit, ac vaſtat, illius vallis diſiectis: tum & Laomedontem trucidat. his pugnaciter confectis, Hercules domũ redit. Filius obruncati Laomedontis Priamus munificam vrbem deplorandè exciſam iterum à fundamentis ædificat, hinc poſtmodum, illius, & locorum adiacentiũ imperium obtinens, dominabatur; tandem infortunio, quod verbis haud exprimi poteſt, ſub ſole, ipſaque Troia miſerrimo, infelix opprimitur. Nãque poſt Troiæ per Herculem excidium, irruentes Amazones

ζόνες ταύτην κατέδραμον. καὶ πάλιν κατὰ τρίτην εἰσβολὴν ὁ Ἀγαμέμνων σὺν τῷ αὐταδέλφῳ αὐτοῦ Μενελάῳ τὸ Ἑλληνικὸν ἅπαν συγκροτήσας τῆς Ἑλλάδος ἀρεϊκὸν στράτευμα εἰς πολιορκίαν τῆς Τροίας ἐξώρμησεν, τοῦτο κινηθεὶς πάντως ἐκ μαντικοῦ φοιβάσματος, καὶ κινδύσματος, τὴν Ἑλένην, καὶ σύνευνον τοῦ Μενελάου παρανόμως τοῦ υἱοῦ τοῦ Πριάμου Ἀλεξάνδρου, καὶ Πάριδος καθαρπάσαντος, ὅτι αὐτὸς δηλαδὴ παρὰ τοῦ ἀνδρὸς ἐκείνης Μενελάου ἐφιλοφρονήθη τε, καὶ ἐξενίσθη καλῶς, κακῶς παθόντος ὑπὸ τοῦ Ἀλεξάνδρου αὐτοῦ τοῦ ξενίσαντος. Πάρις δὲ ὁ Ἀλέξανδρος ὠνομάζετο ἀπὸ τοῦ, περιέναι, τουτέστιν ἐκφυγεῖν τὸν θάνατον. τῆς δὲ τούτου φυγῆς περὶ τοῖς πα-

eam deuaſtant: turſumque tertiò Agamemnon cum fratre germano Menelao, Græcis omnibus in vnum aduocatis, copias bello inſtructiſſimas ad Troiam obſidendam conducit, oraculorũ vaticinijs, atq; impulſibus fidés, cùm Helenam Menelai vxorem, contra ius omne, Alexander, qui & Paris, Priami filius, eo ſurripuiſſet tempore, quo ab illius marito Menelao amicè intromiſſus, hoſpitioque liberaliter acceptus, malum pro bono hoſpiti retulit. Alexander verò Paris dicebatur à περιέναι, quòd vitata morte, adhuc ſuperſtes eſſet. vt verò aufugerit apud Scriptorũ veterum monumenta ita

ta ita

λαοῖς ὁ τρόπος διαπεφήμισται. ἡ Ἑκάβη καὶ μήτηρ τούτου ἡ δύστηνος ὄναρ περὶ τὸ τούτου γεννήσεως τοιοῦτον πρὸς ὄλεθρον ταύτης περὶ τὸν ὕπνον πεφάντασο, ὡς ἐγκυμονοῦσα δαλὸν τῇ μήτρᾳ ἀναπτομένου, καὶ φλογόεντος. κἀντεῦθεν ἐξαναστᾶσα τοῦ ὕπνου, καὶ τοὺς μάντεις εἰς ἑαυτὴν προσκαλεσαμένη, καὶ τὴν λύσιν, καὶ σημασίαν τοῦ ὀνείρατος πρὸς τὸ μαθεῖν αὐτοὺς ἐρωτήσασα, παρὰ τούτων ἀμφιβόλως ἐμάνθανεν, ὡς μὴ ὤφελεν, ὅτι τέξεις υἱὸν καταφλέξοντα τὴν Τροίαν, καὶ ταύτην ἐκδαπανήσοντα, ὃς πάντως ἦν ἐστὶ ὁ Πάρις Ἀλέξανδρος. καὶ δήπερ ἡ τέξασα ἀναμαθοῦσα τὸ φοίβασμα, ἐνεδομύχει τοῦ τῆς προρρήσεως μέχρι τοῦ

ta ita comperi. Hecuba, mater illius miſera, noctu inter inſomnia, antequam ille naſceretur, ſimile quidpiam, quod mortem minaretur, viſa eſt ſibi videre; in vtero ſcilicet accenſam facem, ardentemque ſe concepiſſe: ideoque è ſomno exper-recta, vatibus ad ſe conuocatis, ſolutionem, interpretationémque ſomnij ab illis enixè poſcens, appoſitè audijt; Vtinam id Dij auertant; Troiam enim ipſam incendio vaſtaturum, ac deſolaturum filiũ paries. qui omnino fuit hic Paris Alexander. Parens audiens, ad perniciofum vſque partum, oraculi mentem in latebras abſconditas pectoris anxiè repoſuit.. Quando autem

φθαρτικοῦ τοκετοῦ. ὅτε δ᾽ αὖ ὁ Ἀλέξανδρος συλληφθεὶς τῇ μητρὶ, καὶ τελεωθεὶς, πρὸς τὴν ἔξοδον τῆς μήτρας ἐξέθορεν ὑπὸ ἥλιον, τότ᾽ εὐθὺς ἡ μήτηρ λαθρηδὸν τὸ βρέφος εἰς σωτηρίαν δῆθεν τῆς Ἰλίου πόῤῥω ἐξέωσε, καὶ εἰς τὴν Ἴδην τὸ ὄρος τοῦτο ἐξέθετο, λαθραῖον αὐτῷ τάχα, καὶ εὔσχημον θάνατον μηχανήσασα, πρὸς τὸ συναναιρῆσαι τὴν τοῦ πεπρωμένου ἀπόβασιν. ἀλλὰ τοῦ μέλλοντος τὰς ἄρκυς οὐ διέφυγε τῇ δεινῇ μηχανουργίᾳ ἡ δυστυχὴς, καὶ ταλαίπωρος. ποιμὴν γάρ τις συνελαύνων περὶ τὴν Ἴδην εἰς βρῶσιν πόας τὸ ποίμνιον, τὸ βρέφος εὗρε περὶ δένδρου ῥίζαν κείμενον, ἔρημον ἀνθρωπίνης τινὸς περιθάλψεως. καὶ δὴ θαυμάσας τὸ θέαμα, τὸ βρέφος φιλαν-

Alexander à matre conceptus, & perfectus, in exitum ab vtero geſtiens, luci datus eſt, tunc illicò Mater clanculùm infantem pro ſalute Ilij in remotas partes damnatum, in Ida monte expoſuit, occultam illi, & decentem necem meditata, vt vnà cum eo fati quoque euentum eluderet. licet ſolerti iſta arte futuræ calamitatis retia, miſera, infortunataque nõ euaſerit: Paſtor namq; neſcio quis, per Idam pecudes ad pabula conducens, puerulum ad radices arboris iacentem, omnique humano auxilio deſtitutum, comperit, qui rem admiratus, ſublatum infantulum vlnis complexus, tam-

quam

θερμῶς ἐνεκολπίσατο, τῇ πράξει τὴν τῆς μητρὸς σαφῶς ἐξελέγξας ἀπήνειαν, πατρικῶς περιθάλψας ἔτι τὸ νήπιον, καὶ ἀγαγὼν εἰς πόλιν τινὰ, καὶ ἀνάξας αὐτὸ εἰς ἡλικίαν ἀνδρότητος, φιλίως τοῦτο περὶ τὰς πράξεις ἐκέλευε διαγωνίσασθαι. ἀλλά γε ποτὲ τῆς καιρῶν ἀφύκτως τὸ πεπρωμένον τῇ ἀκοῇ τῆς μητρὸς τὴν ἱστορίαν ταύτην ἀπεσφενδόνησεν. ἥτις πάλιν ὡς ἐκ κάρου λήθης τῆς ἀπηνοῦς πράξεως ἐξαναστᾶσα, σχέσει μητρώᾳ πάλιν τὸν παῖδα ἐνεκολπίσατο. ἵνα τὸν τρόπον, καὶ τὰ μεταξὺ τῆς ἐπανόδου τοῦ παιδὸς χαίρειν ἐάσαιμι. ἐπεὶ δ', ὡς εἴρηται, τὸ πεπρωμένον ἐτύγχανεν ἄφυκτον, Φέρεκλός τις ἀνὴρ δύο νῆας πρῶτος ἐτέκτηνε τῷ Ἀλεξάνδρῳ τούτῳ, δι' ὧν αὐτὸς ἀπέπλευσεν τῆς

quã pater fouit, opera ſanè ipſa Matris refellens crudelitatem: & in vrbem quandã conductum, cùm in virilem ætatem perueniſſet, amicè admodum ad res præclare gerendas exortabatur. Veruntamen aliquandò, cùm vitari non poſſet fatum, in aures Parentis rem geſtam tulit. illa veluti veterno obſita, & rei pernicioſę oblita, affectu materno, iteratis amplexibus filium exoſculatur: vt modum, & quæ inter remigrandum contigerant, ſilentio inuoluam. Cùm verò, vt diximus, fatum eſſet ineluctabile, Phereclus quidam naues binas huic Alexandro compegit, quibus ille Troia in Græciam

Τροίας περὶ τὴν Ἑλλάδα, καὶ τὴν Ἑλένην ἀπανθρώπως καθήρπασε, καὶ εἰς Τροίαν πλέων μετήγαγεν, δι' ἣν καὶ τῶν Ἑλλήνων, καὶ Τρώων ὁ φόνος, ἡ θεήλατος λεηλασία, καὶ τ' ἄλλα εἰς τὸν χῶρον κακῶς τῆς Τροίας γεγόνασιν. οὕτως ἄρα ὁ Πάρις, οὕτως Ἀλέξανδρος τὸν μόρον ἐξέφυγε, καὶ τὴν παράνομον ἁρπαγὴν τῆς Ἑλένης ἐτέλεσεν, ἣν Ἑλλήνων παῖδες τῇ τερπωλῇ τῆς θέας αὐτῆς περιθρυλλοῦσι θεοείκελον. Λαβέτω τοίνυν ἅπας βροτείου φυράματος ἔννοιαν ἀπαράβατον, ἐκ τῆς παρούσης θαυμαστῆς ἱστορίας, ὅτι τὰ προβεβουλευμένα Θεῷ πάντως, καὶ μέλλοντα τίκτεσθαι, μηχανουργία βροτῶν πονηρίας ἀποῤῥαπίζειν οὐ δυνα-

adnauigauit, & Helenam præter iura gentium rapuit, & Troiam remeans, adduxit: ob quam & Græcorum, & Troianorum clades, atque immiſſa à Numine depopulatio, aliaque in regionem Troianam incommoda irruere. Hac ratione Paris Alexander mortem vitauit, & Helenæ, quã Græci, aſpectu illius nimiùm ſeſe delectãtes, Dijs ſimilem prædicabant, iniquum raptum perpetrauit. Ex hac itaque admiranda hiſtoria, quiſquis ſe eſſe hominem iactat, in ſententia immutabili ſit, quæ nempe Deus ſuo conſilio anteà ſanciuit, & futura omninò, nõ poſſe à prauis mortalium conatibus, licet multa illi laborent dolos

ται, μάτην πονοῦντα, μάτην δόλους συῤῥάπτουσα, ὡς μὴ ὤφελεν, ὑπὸ ἥλιον. ἀτὰρ τούτων περιβάντων, πάντα τῇ Τροίᾳ τὰ δεινὰ συμβεβήκασι, καὶ τοῖς Ἕλλησιν, ὅσα περ τὴν καθ' τοῦ Ποιητοῦ Γραμμάτων τὸ πλῆθος ἡμῖν διεζάφησε. τοίνυν ὁ Ἀχιλλεὺς μετὰ τὸ ἀναιρῆσαι τῇ τῆς Ἀθηνᾶς συμμαχίᾳ τῇ τῇ ἀνδρείᾳ περιβόητον Ἕκτορα, συνενόει τοὺς Τρῶας εἰς παντελῆ, καὶ πανδήμιον φθορὰν ὑποσυρέντας τοῖς Ἕλλησι. καὶ δήπερ ὁ ἄγριος τὴν συνείδησιν ἐρασθεὶς τῆς τοῦ Πριάμου θυγατρὸς Πολυξένης, εἰς ἡμερότητα τινὰ τὴν ἔρωτι τὴν ἀγριότητα τούτου μετήμειψε, καὶ λαθραίας μετὰ τοῦ Πριάμου σπονδὰς ἐπικουρίας αὐτὸς μηχετῆσαι βεβούλευτο. ἐντεῦ-

dolos nectent, parentque ſub ſole machinas, (& vtinam talia nõ molirentur!) irrita fieri. Hæc cùm eueniſſent, quæ poſtea tum Gręcos, tum Troianos mala, & quibus modis, & quã latè afflixerint, vigintiquatuor Litterarum ſerie Poëta luculentiſſimè decantauit. Achilles itaque poſt robore celebrem Hectorem, Mineruę ope interemptum, Troianos vniuerſos àGręcis debellatos ruinæ, internecioniq; dare meditabatur: verùm immitis ille animo in amorem Polyxenæ Priami filiæ incidens, ferum, atque immane, in lene, ac dulce permutauerat, clamque cum Priamo foedus auxiliarium icere animabatur. De foedere

θεν περὶ τῶν σπονδῶν ἀναμαθὼν παρὰ τῶν Ἀχιλλέως μηνύματα ὁ ταλαίπωρος Πρίαμος, τῇ ἐπαγωγῇ τῆς ἐφεστώσης ἀνάγκης ὑπέκυψε γηραλέως τῷ τοῦ Ἀχιλλέως βουλήματι. καὶ τὴν θυγατέρα δ' οὖν τούτῳ ὑπέσχετο, ὃς τῷ ταύτης ἀποτυφλωθεὶς ἀληθῶς ἔρωτι, τὸ πεπρωμένον, καὶ τὸ τῆς τύχης ἠγνόησεν ἄδηλον. ἅπερ ἡ μήτηρ τούτου Θέτις ἐξ ἁλὸς αὐτῷ προεφοίβασεν. Ἀναιρεθήσει γὰρ, ὦ υἱὲ, ὑπ' Ἀλεξάνδρου τοῦ Πάριδος, τῷ υἱῷ ἡ μήτηρ ἐφοίβασεν. ἀμέλει εἰς τὸν ναὸν τοῦ καλουμένου Θυμβραίου Ἀπόλλωνος συνελθὼν ὁ Ἀχιλλεὺς τῷ Πριάμῳ, πρὸς τὸ ἐμπεδῶσαι τὴν τῆς Πολυξένης μετ' αὐτοῦ σύζευξιν, τῶν Ἑλλήνων, καὶ τοῦ Ἀγαμέμνονος ὅλως ἀγνοησάντων τὸ λαθραῖον τοῦ-

dere ineundo per Achillis nuncios miſer Priamus certior factus, impendentis neceſſitatis impulſu, Achilleis votis, vti decuit ſenem, ceſſit, & filiam ſpondet; qui illius amore obcæcatus, fatum, fortunæque incertitudiné non recordatur: quæ Mater illius Thetis, marina Dea prædixerat; Cades enim, ò fili, ab Alexandro Paride, ſic filio parens vaticinata fuerat. Nihilominùs, Achille in ſanũ Thymbręi Apollinis cum Priamo, ad ſtabiliendũ vnà cum ipſo Polyxenæ coniugium, adueniente, (Græcis, & Agamemnone occultam hanc Achillis fraudẽ neſcientibus) inſperatò ſors contra eum

το τοῦ Ἀχιλλέως σκαιώρημα, ἀπροόπτως ἡ τύχη τὰ κατὰ τούτου συνέκλωθεν ἀτράκτῳ τῆς ἀναιρήσεως, ἥ τις καὶ παρένυξε τὸν Ἀλέξανδρον τῷ πατρὶ κατὰ καιρὸν ὁμιλίας συμπαρεῖναι τῷ γέροντι. καὶ δήπερ αὐτὸς θεασάμενος ὁ Ἀλέξανδρος τὸν Ἀχιλλέα τῷ πατρὶ προσηχθόντα, καὶ λάθρα προσομιλήσαντα, λαθρηδὸν πικρῷ ὀϊστεύματι τοῦτον ἐτόξευσεν. καὶ εὐθέως ἀνῄρηκεν, ὁ φύσει δειλὸς ὢν τὸν τῇ ἀνδρείᾳ θρυλλούμενον, καὶ τῇ μήνιδι περιβόητον. ἐπεὶ δ' οὐ μόνως ἡ μήτηρ φονευθῆναι τὸν υἱὸν παρὰ τοῦ Ἀλεξάνδρου ἐφοίβασεν, ἀλλὰ καὶ παρὰ τοῦ ῥηθέντος Θυμβραίου Ἀπόλλωνος, μήτις ἐννοήσειεν, ὡς αὕτη τὸ φοίβασμα διεψεύσατο περὶ μέρος, καὶ οὐ καθολόκληρον ἀληθεύσασα. ἡ γὰρ καὶ σωματικῶς

fuſo fatalia nebat ſtamina; quæ & Alexandrum concitauit, vt inter colloquendum Seni adeſſet: is conſpectum Achillem vnà cum Patre occultè conſilia commiſcentem acuta ſagitta confixit; & natura ignauus, ac timidus, fortitudine famoſum, iraque celeberrimum ſtatim occidit. Cùm verò Achillis Parens filium non ab Alexandro tantùm, ſed & ab ipſo Thymbræo Apolline interimendum eſſe præcecinerit, ne quiſpiam eam ſecundum vnam partem oraculi rem enunciaſſe, nec per omnia veritatem retuliſſe ſuſpicetur: Nam licet corpore

κῶς ὁ Ἀπόλλων οὐ συμπαρῆν τῷ Ἀλεξάνδρῳ εἰς τὸν φόνον τοῦ Ἀχιλλέως, ἀλλ᾽ οὖν συνεργάτης ἀφανῶς τούτῳ τοῦ φόνου ἐτύγχανεν, περὶ τὸν ναὸν αὐτοῦ τελεσθέντος φημὶ τοῦ Ἀπόλλωνος. οὕτως δίκην ὁ Ἀχιλλεὺς προσήκουσαν ὤφλησεν, τῇ περὶ τὸν Ἕκτορα τούτου ἀπανθρώπῳ, καὶ ἀτεράμνῳ μήνιδι. φιλοσόφως τοῦ Ποιητοῦ φάσκοντος, ὡς, εἰ καὶ πάθη τά κ᾽ ἔρεξε, δίκη τ᾽ ἰθεῖα γένοιτο. οἶμαι γοῦν ὁ Ἀλέξανδρος τοῦτον ἀνῄρηκεν φθόνῳ τοῦ συναλλάγματος ἐντεῦθεν δι᾽ ἀληθείας τῆς φονικῆς ταύτης αὐτῶν συμβάσεως. ὁ Πρίαμος καὶ διὰ ταῦτα ὁ γέρων ὁ ἄθλιος ἐντὸς εἰσῆλθε πάλιν τοῦ ἄστεως τῇ λύπῃ κατάκομος. οἱ δὲ Ἕλληνες εἴχοντο τῆς προτέρας σπουδῆς συντονώτερον πρὸς

Apollo haud vnà cũ Alexandro in cædem Achillis concurrerit, occultè tamen cum illo necem patrauit, cùm in eius ſano patrata ſit. Hac ratione meritas pro ìnhumana, atque implacabili in Hectorem ira luit pœnas Achilles. æquè ac decet Philoſophũ, Poëta edicente, *Si quæ confecit ipſe patiatur, & recta iuſtitia fiat*. Alexander eum, vt exiſtimo, pactis inuidens interemit: & hũc verum eorundem, ac lethalem congreſſum fuiſſe iudico. Propterea Priamus ſenex infelix, mœrore obſitus, denuo inter Vrbis mœnia ſeſe occluſit: Græci magis ac magis prioribus conatibus dediti, anxij tamen, hærenteſque

τῆς Τροίας τὴν πόρθησιν ἐπαπορῶντες τὰ μέγιστα. ἐννέα γὰρ ἐνιαυτοὶ παρῆλθον μέχρι τῆς Τρωϊκῆς ἁλώσεως, ἀφόΤου πάντες εἰς Τροίαν ὀλεθρίως παραγεγόνασιν Ἕλληνες. ἀλλὰ περὶ τὸ δέκατον ἔτος τοῦ ἄστεος τῆς πορθήσεως, Ἐπειός τις, Τρίτων ὀνομαζόμενος, ἵππον ξύλινον τελαμώνιον κατεσκεύασε, κινεῖσθαι τροχώμασι, τὸν καὶ λεγόμενον Δούρειον, ἐκ τοῦ λέγεσθαι δοῦρα τὰ ξύλα τοῖς παλαιοῖς, συμβούλου τῆς τοῦ ἵππου τεχνικῆς διαπλάσεως καὶ τοῦ Ὀδυσσέως ὑπάρχοντος. σὺν γοῦν τούτῳ, καὶ τῷ Μενελάῳ ὁ Ἐπειὸς ἀρεϊκοὺς ἄνδρας Ἕλληνας, σὺν τῷ Τελαμωνίῳ Αἴαντι, καὶ τοῖς συμβούλοις αὐτοῖς παρεσκεύασεν εἰσελθεῖν

Troiæ excidium procurabant. Vaſtationis etenim Troianæ, ex quo Græci pernicioſi nimis illùc deuenerant, annus iam decimus vertebat. Sed decimo ipſo Epeus quidam, cui & Tritoni nomen erat, Equũ ligneum, baltheis armatum coriaceis, vt rotis reperet, ædificauit, qui & *Durateus* dictus eſt; cùm ligna antiquitus *Dura* nuncuparẽtur; ad Equum artificiosè compingendum Vlyſſe quoque in conſilium adſcito. Itaque cum Vlyſſe, & Menelao Epeus Viros in acie ſtrenuos, ac bellatores, cum Aiace Telamonio, & conſiliarijs, mille centenos, noua quadam machina, ac fraude, Troianis copijs dolum neſcien-

χιλίους ἑκατὸν εἰς τὸ κοίλωμα τοῦ γαστρὸς τοῦ ἵππου ἐνόπλους, ξένῃ μηχανουργίᾳ, καὶ ἀπάτῃ, καὶ καινότερα Τρωϊκῆς ὁμηγύρεως. ὧν δήπερ ἀνδρῶν περὶ νύκτα μίαν ὑποδυώτων εἰς τὸ πυθμένα τὸν ἵππειον τῆς γαστρὸς, πρὸς τὰς πύλας τῆς Τροίας τὸν ἵππον ἠρεμαίως ἐκίνησαν Ἕλληνες. καὶ Τρῶες μετὰ μικρὸν ἄνωθεν τῶν ἐπάλξεων εἶδον τὸν ἵππον περὶ τὰς πύλας ἱστάμενον. καὶ ὡς ἀληθῶς ἐξεπλάγησαν, ὑποτοπάσαντες τὸ θέαμα εἶναι θεόπεμπτον. ἐντεῦθεν πρὸς ἀλλήλους λογισμοῖς ἀμφιβόλοις συνεταράσσοντο. οἱ μὲν λέγοντες εἶναι θνητὸν τὸν ἵππον, καὶ χειρῶν βροτέων τὸ τέχνασμα, οἱ δὲ θεόπεμπτον τοῦτον, καὶ ἀθανάτου μοίρας τὸ θεάμά τε, καὶ πόρισμα.

ſcientibus armatos, in equini ventris cauitate incluſit: quibus omnibus nocte in imum vteri ingreſſis, tacitè Græci ad Troianas portas equum compulere: neque diu poſt Troiani murorum faſtigijs inuigilantes, Equũ pro foribus ſtantem conſpexere; admiratione que, vt par erat, attoniti, non niſi ex Deo eſſe ſpectaculũ ſuſpicati ſunt. Hinc varijs inter ſe cogitationibus, nec vna animi propenſione gemere: nam ex ijs nonnulli mortalem equũ, & manuum humanarum opus aſſerere; alii à Deo miſſum, & immortalis ſortis particeps ſpectaculum illud ſibi obiectum contendere; adeoq; con-

τηλικαύτης τοίνυν ἀμφιβολίας ἀνακυψάσης, οὐ τόλμην εἶχον βαλεῖν τὸν Ἵππον ἄνωθεν τῶν ἐπάλξεων. ἀλλ᾽ ὅμως μετὰ τινα χρόνον ὀλίγον ταύτῃ τοιάνδε τὸ τῶν Τρώων πλῆθος συμβουλὴν καθ᾽ ἑαυτοὺς συνεστήσαντο. ὡς εἴπερ ἡμῶν ὁ Ἵππος βληθείη ἄνωθεν διὰ βέλους, καὶ δόρατος, κἀκ τῆς τρώσεως αἷμα θεαθῇ παρ᾽ ἡμῶν ἐκχεόμενον, γνώσομεν πάντως τὸν Ἵππον εἶναι θεόπεμπτον, καὶ περιπλέων συναισθήσεως, καὶ οὕτως αὐτὸν τῆς πύλης ἐντίμως ἐντὸς τοῦτον εἰσαγάγοιμεν. εἰ δὲ μὴ τὴν τρῶσιν οὐ θεασοίμεθα λύθρον τοῦ Ἵππου χεόμενον, τότ᾽ αὖ αὐτὸν καταθλάσομεν κρούμασιν, οἷάπερ χειρῶν ἀνθρωπίνων ὑπάρχοντα τέχνασμα. αὐτὰρ τῶν Τρώων τοιαῦτα συμβουλευομένων ἐν τα-

contentione exorta ex propugnaculis Equũ ferire non audere. Verùm breue poſt tempus, in hanc ferè ſententiam Troianorum ſenatus omnis, ac plebs conuenere: Equum ſcilicet ex alto ſagitta, aut haſta percuſſum, ſi ex vulnere ſanguinẽ effundere conſpexerint, omnino diuinitùs delatum, ac ſenſibus integrum habendum eſſe: ſicque honorificè per portam intra mœnia producendũ: ſi ſanguis poſt ictum non effluxerit, tum veluti humanæ artis opificium ictibus côterendum. Dum hæc Troiani conſulerent, Græci in Equo armati conſidentes, terrore, ac metu perculſi, conſilia audiebant.

Tum

ραχῇ, καὶ κλόνῳ τοῦ πράγματος οἱ Ἕλληνες ἐντὸς τοῦ ἵππου καθημένοι ἔνοπλοι, τῆς συμβουλῆς ἤκουον. καὶ δὴ λοιπὸν ὁ Ὀδυσσεὺς ἐπιστάμενος, ὅτι πάντων τῶν περὶ τὴν Τροίαν δεινῶν, καὶ τῶν συμβεβηκότων ἐκ τῆς διαμάχης τοῖς Ἕλλησι, καὶ τῆς τοῦ δουρείου ἵππου κατασκευῆς ὁ Μενέλαος, καὶ οὐκ ἄλλος τῶν Ἑλλήνων αἴτιος γέγονε τῇ ἁρπαγῇ τῆς Ἑλένης, αὐτῷ τῷ Μενελάῳ δικαίως ὑπεψιθύρισεν τοῦτο δὴ τὸ ᾀδόμενον, ὡς, Ὁ πονῶν θήσει μηρὸν, ὥσπερ εἰ εἶπεν. ὅτι σὺ πάντων ἡμῶν ὦ Μενέλαε ἐπέκεινα διὰ τὴν ἁρπαγὴν τῆς συνεύνου, καὶ τῆς Τροίας τὴν πόρθησιν ἄλγος ὑποτρέφεις τῇ καρδίᾳ φλογόεν, καὶ ἐκδαπανῶν σου τὴν αἴσθησιν. λοιπὸν σὺ τὸν μηρὸν διὰ ὀπῆς τινος τοῦ ἵππου προτείνειν ὀφεί-

Tum Vlyſſes, malorum omnium, quæ circa Troiam, nec nõ in bellicis congreſſibus Græcis euenere, inſuper ipſius lignei equi ſtructuræ Menelaum, nec Græcorum alium, cauſam fuiſſe, ob raptum Helenæ, optimè callens, ipſi Menelao, nec præter rem, quod omniũ ore teritur, inſuſurrauit, *Qui dolet, femur apponet.* quaſi dixerit; Tu, ò Menelaé, propter vxorem raptam, vaſtationemque Vrbis ſupra nos omnes animo angeris, & cordi tuo ardentem dolorem, quo ſenſus maceras, foues; tu ideo femur ex quopiam Equi foramine ijs, qui deſuper ictus mo-

λεις

λεις τῇ ζώσει τῶν μελετώντων ἄνωθεν ταύτην ἐργάζεσθαι, ἵν' ἀμέλει τοῦ μηροῦ σοι ἐκρεύσαντος οἱ Τρῶες ἔμψυχον εἶναι, καὶ θεόπεμπτον τόνδε τὸν ἵππον ὑποτοπάσωσιν, καὶ πτοηθέντες τῇ θέᾳ τῆς βολῆς τῶν βελῶν παυθεῖεν, καὶ οἷάπερ θεόπεμπτον ἐντὸς τοῦ ἄστεος αὐτὸν εἰσαγάγοιεν· κἀκεῖθεν κατὰ Τρώων ἡμεῖς ἐξερπύσομεν ἔνοπλοι, καὶ τὴν πόλιν οὕτω πορθήσομεν. ταῦτ' ἄρα Ὀδυσσεὺς ἅπαντα συνετῶς, ὡς συνετός, τὸ, Ὁ πονῶν θήσει μηρὸν, τῷ Μενελάῳ ἐφθέγξατο, καὶ δήπερ αὐτὸν τοῖς ῥήμασι παρεσκεύασε θεῖναι μηρὸν ἐξ ὀπῆς τινος τῆς τοῦ ἵππου κατασκευῆς τῆς ἀπονευούσης μᾶλλον πρὸς τὴν ζῶσιν ἄνωθεν ποιῆσαι θηρίζοντας. ἀμέλει τὸν ἵππον οἱ Τρῶες τοῖς

liūt̄ur, ad feriendum propone, vt inde effuſo ſanguine, Troiani Equum hunc animatum eſſe, & à Deo miſſum ſuſpicentur, perterritique ſpectaculo, à ſagittarum ceſſent coniectione, eumque, tamquam diuinitùs delatum, in vrbem inuehāt. Hinc nos aduerſus hoſtes armati egreſſi Vrbem diripiemus. Hæc omnia prudenter ſanè Vlyſſes, vt pleno pectore ſapiens, effato illo, *Qui dolet, femur apponet,* inſinuauit: hiſque ei perſuaſit, vt femur ſuperiori in ſtructura Equi foramini Troianos verſus, quibus telorum coniectus incumbebat, applicaret. Interim Troiani iaculantes, colliṁant, & femur Me-

βέλεσιν ἔτρωσαν, καὶ τοῦ Μενελάου ηὐστόχησαν τοῦ μηροῦ, κἀντεῦθεν τὸ αἷμα τῆς ἐπιφανείας τοῦ ἵππου ἐξέθορεν. ὅθεν ἰδόντες οἱ ἀστυπόλοι τὸ θέαμα, πάντες σάλῳ φωνῆς, καὶ νοὸς τῇ κουφότητι συνεβόησαν ἄνωθεν, τὸν ἵππον ὄντως εἶναι θεόπεμπτον, καὶ θεόληπτον, μὴ μᾶλλον εὐφρόνως συλλογισάμενοι, οἱ πεισθέντες τοῦ νοῦ μάταιοι παραδόξῳ κουφότητι διανοίας, ὡς, εἰ ἦν ὁ ἵππος ἐξ οὐρανοῦ κατιὼν, θεοπροπίᾳ τινὶ, καὶ Θεοῦ νεύματι, ἄφθαρτος ἂν μᾶλλον ἐτύγχανεν, καὶ ἀνώλεθρος χερσὶν ἀνθρωπείαις, καὶ Τρώεσι. ταῦτα ἀλλ' ὡς ἄλλως φαντασθέντες εἰς ὄλεθρον αὐτοῖς, ἐπὶ θύραις ἱστάμενον τὰς τοῦ ἄστεος πύλας ταχέως οὕτως ἀνέῳξαν. καὶ

nelai feriunt, ſtatimque ſanguis vulnere emanans, Equi ſuperficiem tinxit. Spectaculo ciues exterriti, tumultuante ſtrepitu, atq; inani mentis pondere vocem vnà omnes deſuper ediderunt, Equum verè à Deo miſſum, & Deo plenũ eſſe; haud prudenter, mente capti, leueſque ſtulta, ac ſtolida mentis agitatione ratiocinãtes. Nam ſi Equus è Coelo delapſus eſſet, nutu Numinis, oraculoque ipſo, incorruptus potiùs, & viribus humanis, Troianiſque ipſis minimè obnoxius foret. Hæc vtcunque imaginatione complexi, in ſui ipſorum perniciem ad fores ſtanti Equo

ſubitò Vrbis portas reſerarunt; & vtrinque

τὰ παρεκάτερα μέρη τοῦ τοίχου τὰ συσφίγγοντα τὰς πύλας ἀνώρυξαν, πρὸς τὸ χωρηθῆναι ῥᾷον τὸν Ἵππον ἐκεῖνον τὸν τελαμώνιόν τε, καὶ δούρειον εἰς τὴν εἴσοδον. ταῦτα μὲν οὖν οἱ Τρῶες κούφως εἰργάζοντο, καὶ οἱ Ἕλληνες οἷάπερ ἀληθῶς λέοντες εἰς ὑπογάστριον λόχον συνεδριάζοντες, καὶ λαθρηδὸν κατὰ θηρὸς ὑποβρύχοντες εἰς βορὰν ἤδη προκειμένου, τούτων τοῖς στόμασι, καὶ τοῖς ὄνυξιν ηὐτρεπίζοντο. καὶ δήπερ οἱ Τρῶες τὸν Ἵππον ἐντίμως ἄγαν τοῦ ἄστεος ἐνδοτέρω μετελκύσαν, καὶ εὐθέως τὸ ἐντὸς ἀλλεπαλλήλοις κλαγγαῖς τὸ Ἑλληνικὸν ἅπαν ἐβόησε στράτευμα ἐπινίκιον, ὑποτοπάζων εὐστόχως τὸ μετὰ μικρὸν τοῖς Τρωσὶ δεινῶς ἐλευσόμενον. ὁπηνίκα γὰρ ἐντὸς εἰσῆλθεν ὁ Δούρειος,

que partes muri, portas compingentes, vt faciliùs Equum illum ligneum, baltheiſque colligatum coriaceis, ingredientem admitterent, effodiunt. Hęc Troiani ineptè nimis gerebant: & Græci ſub ventre, vt veri Leones, ex inſidijs latentes, clanculùmque frementes in feram, ori eorum, & vnguibus ad deuorandum iam propoſitam, prę parabantur. Troiani Equum honorificè in interiores vbis partes pertraxerant, repentèq; Gręcorum vniuerſus, qui intus recondebatur, exercitus crebris vocibus victoriã acclamauit, non ineptè coniectãs mala, quæ breue poſt tẽpus Troianos erant oppreſſura. Cùm

T 2 enim

οἱ ἐν τῇ γαστρὶ τούτου ἠρέμα πρὶν καθεζόμενοι ἀρεϊκῶς βοῇ ἅπαντες εἰς τὸ φῶς συνεξέθορον ἔνοπλοι, καὶ μηροῦ τὰ ξίφη κἀντεῦθεν ἐρύσαντες, ἀρεϊκῶς κατὰ τῶν Τρώων ἐχώρησαν, οὓς ὀξύτητι ξίφους, καὶ μαρμαρυγαῖς πανοπλίας ὁμοθυμαδὸν κατεσπάθιζον, τοιοῦτοι ὄντες τὴν ἀνδρείαν, καὶ ἡλίκοι τῶν σωμάτων τὸ μέγεθος, καὶ τοιαῦτα καὶ τοῦ Τελαμωνίου Αἴαντος τοῖς ἀνδράσι τούτοις ξιφηφόρου συνεδρειάζοντος. ἀλλά γε τοὺς κατασπαθιζομένους οὕτω Τρῶας, καὶ φεύγοντας ἔσω τοῦ ἄστεος τοῦ πλάτους τούτου) συνήλαυνον πρὸς αὐτὸν οἰκτρῶς τὸν περίβολον. ὁ γοῦν ὄλεθρος τοῖς Τρωσὶν ἐντεῦθεν, ὁ μέγας τε, καὶ ἀείμνηστος, τοῖς δ' αὖ Ἕλλησιν ἡ χαρμοσύνη τῆς νίκης, καὶ τὸ κλέος ὑπέροχον. ἅπαν

enim intromiſſus eſſet Equus, qui in illius vẽtre quietè delituẽrant, martiali impetu omnes armati in lumen ſimul erumpũt, tractiſque è femore enſibus ſtrenuè Troianos inuadunt, quos cuſpide, & armorum ſplendoribus hoſtili conſenſione contrucidabant, cùm eſſent viribus, corporumque magnitudine cõſpicui; & potiſſimùm vnà cũ ijs ſtricto ferro Telamonius Aiax conſpirat. Sic Troianos armis vexatos, & fugientes in latè patẽtem vrbem ad ipſum miſerè vallum compellebant. Hinc Troianorum immane, ſemperque memoria recolendum excidiũ, Græcis verò victoriæ gaudium, & curſus glo-

γὰρ τούτων τὸ ἄθροισμα τῶν ἐκτὸς ὑπεβείασε τῷ περιβόλῳ τῆς πόλεως, καὶ οὕτως ἡ πολυθρύλλητος τῆς Τροίας τετέλεστο τοῖς Ἕλλησι πόρθησις. ἀμέλει τοιούτου θεάματος, καὶ πανωλέθρου φόνου ἐπεισφρησάντων τῷ Πριάμῳ τῷ γέροντι, τῷ νεῷ τοῦ Ἀπόλλωνος φεύγων αὐτὸς προσῆλθεν ὁ δείλαιος, φυγῇ τὴν σωτηρίαν πραγματευόμενος. ἀλλά γε τοῦ ἄστεος κατασκαφέντος τοῖς Ἕλλησιν, ὢ τῆς ἀπηνείας, καὶ δυσσεβοῦς ἀναιδείας ἐκείνης, ὁ υἱός φημι τοῦ Ἀχιλλέως ὁ Νεοπτόλεμος κατὰ μηνίδα, καὶ θυμόν, ὡς ἔοικε, τῷ πατρὶ ὁμοιούμενος, ἀναιδῶς εἰσῆλθε ξιφηφόρος εἰς τὸν ναὸν τοῦ Θυμβραίου Ἀπόλλωνος, καὶ ἀνῄρηκε τὸν ἄθλιον, φεῦ, καὶ πολύτλητον γέροντα Πρίαμον, ἀνοσίου ὄντος τοῦ φό-

gloriæ ſempiternus. cætus ſiquidem eorũ vniuerſus in eos, quĩ vallo vrbis ſeſe munierant, ingruit: & ita memoratæ Troiæ imperium ad Græcos peruenit. Triſti hocce ſpectaculo, & exitiali clade Priamo ſeni relata, ille in templum Apollinis fuga ſibi ſalutem procurãs aufugit. Euerſa à Græcis vrbe, (ò immanitatem! ò improbam illam impudentiam!) filius Achillis Neoptolemus, ira, ac furore, vt conijcimus, patri non diſſimilis, in fanum Thymbræi Apollinis nudato enſe procaciùs introit, & miſellum, heu, ac multa perpeſsũ Priamum ſenem obtruncat, quantumuis nex in templo Dei perpe-

νυ εἰς ναὸν Θεοῦ γίνεσθαι, καὶ λύθρον βροτείων τὴν ἔκχυσιν. καλῶς οὖν ὁ Εὐριπίδης τὸν Νεοπτόλεμον μιαιφόνον ὠνόμασεν, ὡς ἀνοσίῳ μιανθέντα, καὶ δυσθρησκεύτῳ φόνῳ τοῦ γέροντος. τοῦτο γὰρ τέλος φευκτὸν πολυπλόκων δυστυχημάτων τῇ τοῦ γέροντος ἀθλιότητι πέπρωτο. οὕτω μὲν ταῦτα. Ἐπειδὴ δὲ τὸν μοιχὸν ἐκεῖνον τὸν Αἴγισθον τῆς Κλυταιμνήστρας τὸν συνεύνου τοῦ Ἀγαμέμνονος τὸν σὺν ταύτῃ ἀνῃρηκότα τὸν Ἀγαμέμνονα, ὁ υἱὸς τούτου Ὀρέστης, νήπιος ὢν κατὰ χρόνον τοῦ φόνου τοῦ πατρὸς, καὶ ἀνδρωθεὶς, τὸν μοιχὸν, καὶ τὴν μητέρα εἰς ζῆλον ἀγαθὸν τοῦ πατρὸς ἀνήρηκεν, καὶ εἰς εὔνοιαν, προσελθὼν σὺν τῷ φίλῳ [illegible]

trata, & humani ſanguinis effuſio, impia iudicetur. Meritò itaque ab Euripide Neoptolemus ſanguinarius appellatur, tamquam qui impia, & irreligioſa ſenis nece ſeſe cruentauerit: illa namque mors multiplicium infortuniorum finis, ac terminus miſerrimæ ſenis conditioni à fatis decreta fuerat. Et hæc quidem ita ſe habuere. Cùm verò Ægiſtũ illum, Clytæmneſtrę, Agamemnonis coniugis, adulterum, Matremque ipſam ſimul, quę vnà cum eo Agamemnonem interfecerat, filius Oreſtes, qui tẽpore violati thori, necisq; paternę infans fuerat, ſatis tum ætatis, ac roboris habens, Patrem vlciſcens, trucidaſſet, ſuppetias amico ferren-

Πυλάδης· εἵλκυσε τὸν Ὀρέστην αὐτὸν ὕστερον μετὰ τῆς Τροίας τὴν ἅλωσιν ὁ Μενέλαος σὺν τοῖς τῶν Ἑλλήνων περιέχουσιν εἰς ἀντίποινον φόνου τῆς τούτου μητρὸς, παντὸς τοῦ μητροκτόνου ἀνοσιουργοῦ πάντως τυγχάνοντος. ἐδυσωπεῖτο γὰρ ὁ Μενέλαος ὑπὸ τοῦ πατρὸς τῆς Κλυταιμνήστρας τῆς συνεύνου τοῦ Ἀγαμέμνονος, τοῦ ὀνομαζομένου Τυνδάρεω. καὶ γὰρ καὶ ἡ Ἑλένη θυγάτηρ τούτου ἐτύγχανεν, πρὸς τὸ φονεῦσαι τὸν Ὀρέστην εἰς τὸ ἑαυτοῦ μητρὸς, ὡς εἴρηται, τὸ ἀντίποινον. ἀλλὰ δήπερ ὁ Πυλάδης κατὰ φιλίαν ἄφραστόν τε, καὶ ζέουσαν προθανεῖν τοῦ Ὀρέστου τοὺς φονεύοντας ἐξεβίαζε. καὶ ὁ Ὀρέστης αὖ ὑπὲρ τοῦ φίλου τούτου προτιμᾶν ἤθελε τὸν ἑαυτοῦ θάνατον. ὅμως δὲ καὶ ἀμφότεροι μίᾳ ψυχῇ τυγχάνοντες

rente Pylade, cum Græcorum primatibus poſt exciſam Troiam Menelaus, rem vindicandam putans, ad vlciſcendum improbum parricidã animum aduertit: à patre ſiquidem Clytæmneſtræ, vxoris Agamemnonis, Tyndareo, cum Helena quoque eiuſdem eſſet filia, ad necem Oreſtæ, vt vlciſceretur filiæ mortem, concitabatur. interim Pylades amore, effatu haud facili, ardentique percitus, Oreſtæ mortem machinantes, interimendos eſſe contendebat: Oreſtes ex altera parte mortem ſuam amici incommodis præponebat: nihilominus cùm vna anima amicitiæ vi in duobus corporibus

φιλία, ὡς ἐν δυσὶ σώ-
μασι, καί τι κατεπεῖ-
γον τοῦ θανάτου συλλο-
γισάμενοι, γοργῶς τὴν
Ἑλένην εἰς θέατρον τοῖον
καθείλκυσαν πρὸς τὴν
τοῦ Μενελάου πτοίαν τε,
καὶ κατάπληξιν, ὡς εἰ-
κὸς, ἢ Ἑλένης ἀπογυ-
μνώσαντες τὸν τράχηλον τοῦ
ἐνδύματος, τούτῳ τὸ φάσ-
γανον φρικτῶς προσε-
πέλασαν, πρὸς τὸ τὴν
ἐκτομὴν τῆς κεφαλῆς ἐξ-
εργάσασθαι. μικροῦ τοίνυν
τὸ τῆς ἀπηνείας ἔργον ἐ-
τέλεσαν ἄν, εἰ μὴ Θεοὶ
τὴν Ἑλένην οἰκτείραν-
τες, εἰς οὐρανοὺς τῶν φο-
νικῶν χειρῶν ἀθρόον ἀ-
φήρπασαν, τῆς σφαγῆς
ταύτης ἐλευθερώσαντες,
τὴν δὲ, ἀλλ' ἡμῖν τού-
τοις οὐχ εὕρηται τοῖς τῶν
παλαιῶν πίναξιν, ἐξ ὧν
καὶ ταῦτα πόνῳ ἠθροί-
σαμεν, εἰ μετὰ τὴν ἁρ-
παγὴν τῆς Ἑλένης καὶ ὁ
Ὀρέστης ἀνῃρέθη παρὰ

viueret, neſcio quid, vt mortem eluderét, meditati, ad exterrendum, ſtupefaciendũque Menelaum, nec præter rem, immaniter admodum Helenam in id ſpectaculum produxerunt; in quo in nudatam inuolucris ceruicẽ enſem dirè, ad abſcindẽdũ caput diſtringunt. Et facinus atrox perpetraſſent, ni Dij Helenæ miſerti, in Cœlum è lethalium manuum vi ereptã intuliſſent, & ab imminẽte eam cæde liberaſſent. Nos autem in antiquorum Scriptorum monumentis, ex quibus & hæc non ſine labore congeſſimus, nondum comperimus, an poſt raptam Helenam, à Menelao, id ſummopere in-

τοῦ τοῦ Μενελάου τότε μεταχειρίσεως. ἄτοπον δὲ τὸ φονευθῆναι τὸν Ὀρέστην, ἀνοσιουργὸν μητέρα φονεύσαντα, τὴν τὸ πατρῷον τούτου αἷμα καταληστεύσασαν λῃστρικῶς, καὶ εἰς χοῦν ἀρρένης τῷ ξίφει ἐκχύσασαν. ἔδει γὰρ πάντως θανεῖν τὴν μοιχευθεῖσάν τε, καὶ φονεύτριαν, μοιχείαν, φόνον, ἀνδρὸς ἄνακτος τοίνυν συρράψασαν. αὐτὰρ ὁ Πάρις Ἀλέξανδρος πρὸς τὴν ἁρπαγὴν τῆς Ἑλένης, τὸν Ἀχιλλέως ἐπίκλοπον θάνατον τοξείαις καὶ δόλῳ μηχανησάμενος, Θεοῦ νεύματι δίκην ὁμοίαν σφαγῆς, καὶ θανάτου τοῦ χοὶ ὁ ἄθλιος ἀνταπέδωκεν, ἀλαζονείᾳ τοξείας ἑαυτοῦ συρράψας τὸν θάνατον. τοῦ γὰρ Φιλοκτήτῃ πρὸς ἅμιλλαν συνελθὼν κατ' εἴδα τοξικῆς γε μεταχειρίσεως, ἐκείνῳ τοῦ

intendente, Oreſtes etiã ipſe occiſus fuerit. Abſurdum tamen fuerit, Oreſtem, impiæ Matris, quæ paternum ſanguinem, inſtar Latronum, deprædata ferro in terram effuderat, occiſorem interrimi: ſiquidem modis omnibus meretrix, homicida, taliſque Regis thori violatrix neci tradenda erat. Paris Alexander præter raptum Helenæ, ex inſidijs telo fraudulentã Achillis mortem machinatus, Deo ita annuente, non diſſimiles pœnas & cedis, & mortis ſibi, ſagittarũ iactu, ac ſuperbia morte comparata, perſoluit. Etenim cũ in certamen de ſagittarum tractatione cũ Philoctete, qui in Inſula

χρησαμένῳ περὶ τῆς νήσου τοῦ Ἡρακλείου πάλαι τόξῳ, καὶ εὐστόχως βάλλοντι τὰς πελείας, καθάπερ ὁ Ποιητὴς εἴρησεν, ὑπὸ τούτου, καὶ τὴν τούτου βελέμνων ἀνίεται, ὀφθαλμὸν βληθεὶς ὁ ἄθλιος, καὶ χεῖρα, καὶ τὸν ἀστράγαλον, τριττῇ τῇ βελῶν ἀφέσει τούτου δὴ τοῦ τοξεύσαντος. οὕτω δήπερ ἐν ἄλλοις θανατοῦντες τοὺς ὁμοπλάστους, ἐν ἄλλοις κρίσει προνοίας εὐθέτου θνήσκειν ἀθλίως πεφύκαμεν. Οἱ γοῦν Ἕλληνες μετὰ τὴν τῆς Τροίας ἅλωσιν, καὶ ταύτης τὴν περιβόητον πόρθησιν ὑπονοστήσαντες εἰς τὸν ναύσταθμον, καὶ ξυναυλισθέντες ἐν τῇ Αὐλίδι, ἐν ᾗ συμβουλὰς ἀεὶ συνήρχοντο, καὶ βουλευσάμενοι ταῖς ναυσὶν ἀποπλεῦσαι τοῦ ναυστάθμου πρὸς πόντον, καὶ ἀπελθεῖν εἰς Ἑλλάδα, ἐ-

ſula multò antea tempore Herculeum telum pertractarat, & in columbas, vt Poëta refert, collimabat, veniſſet, ab eo, illiuſque ſagittis, oculos, manum, calcaneumque percuſſus, trina ſagittarum emiſſione miſerè cæditur. Hac ratione dum in alijs eos, qui nobiſcum vnà creati ſunt, conficimus, in alijs, recto prouidentiæ iudicio, morimur infortunatè. Græci porrò, poſt exciſum Ilium, illiuſque nominatiſſimam vaſtationem, ſeſe in nauale recipientes, commoranteſque in Aulide, continuò cõſilia conuocabant, cœptoque conſilio, vt nauibus nauali excederent, ac mari ſedarent, & Hellada peterent,

κωλύοντο πρὸς τὸν πλοῦν τῇ τῶν πνευμάτων ἀντιφορᾷ. καὶ δήπερ τοῦ προσφαγέντος Ἀχιλλέως τὸ εἴδωλον περὶ μιᾶς νυκτὸς τὴν σκοτόμαιναν, ἐπεφαίνη τοῖς Ἕλλησι τούτοις, ἀποφηνάμενον κατὰ τὸν πρότερον διάπυρον ἔρωτα, ὃν ὑπέτρεφεν Ἀχιλλεὺς τῇ καρδίᾳ πρὸς τῆς Πολυξένης τὸ μνήστευμα, ὡς, ὦ Ἕλληνες, οὐκ ἄλλως εὐπλοίας τύχητε ῥᾳόνως, εἰμὴ τῷ ἐμῷ τάφῳ τὴν Πολυξένην αὐτὴν σφαγιάζαντες θύσητε. αὐτὰρ εὐθὺς οἱ ἀκροαταὶ τοῦ οἴκαδε γλιχόμενοι θεάζασθαι παλιννόστησιν, τὴν κόρην ἀνενδοιάστως τῶν χειρῶν τῆς ἀθλίας, καὶ γηραλέας Ἑκάβης ἀφήρπαζαν, πολλὰ γονυκλιτησάσης, καὶ παρακαλεσάσης ὀλολυγμαῖς ἀνονήτοις τὸν Ἀγαμέμνονα ὑπὲρ τῆς τοῦ θυγατρίου αὐτῆς ἐκ-

terent, aduerſorum ventorum rabie nauigatione impediuntur. Interim anteà perempti Achillis Idolum ſub nocte tenebris circũfuſa Græcis apparet,& pro exardente amore, quem erga Polyxenæ nuptias Achilles corde fouebat, edixit; Nunquam, ò Græci, placata maria venti dabũt, ni ſuper ſepulchrum meum Polyxenam mactantes ſacrificaueritis. his illi auditis, cùm reditum in patriam auidè concupiſcerent, Puellam improuidè, ex miſeræ, ſenioq; confectæ Hecubæ manibus eripiunt; licet mater in genua procumbens, eiulatibus infructuosè pro libertate filiæ Agamemnonem depre-

λυτρώσεως, ἀλλὰ τὴν ἀγκαλῶν ταύτης, ὦ δυσδαίμονος, καὶ πολυτλήτου βίας, τὸ μόνον καταλειφθὲν τῇ ταλαίνῃ μητρὶ τοῦτο θυγάτριον ὑπεκσπάσαντες Ἕλληνες τῷ τάφῳ τοῦ Ἀχιλλέως ἀπηνῶς, καὶ λίαν παρανόμως ἀπέσφαξαν, λύθρον ἀνόσιον ὑπὲρ λύτρου πλοὸς τοῖς Θεοῖς θύσαντες, κατὰ τοὺς τρόπους πάντως τῆς τραγικῆς ὑφηγήσεως. Οὕτως ἡ πρὶν μὲν πολύπαις Ἑκάβη γηραλέα βασίλισσα ἄπαις ὑστάτως, οἰκέτις, αἰχμάλωτος, ἀθλία γεγένηται, ἔνθεν κἀκεῖθεν περιπλαζομένη, καὶ εἰς ἐπικουρίαν δῆθεν ἀθήρατον λυσότριξ ἐκτρέχουσα, τὰς παρειὰς καταξέουσα, καὶ γονάτων βαρυαλγήτοις στοναχαῖς ἁπτομένη δυναστευόντων Ἑλληνικῆς ὁμηγύρεως. πάντων αὐτῆς τὴν παι-

precaretur: itaque ex illius amplexu vnicã illi derelictam filiam, (ò vim atrocem, atq; pernicioſam!) auellentes, ad ſepulcrum Achillis immaniter, & perquàm impiè iugulantes, ſanguinem innoxium pro mercede nauigationis, ac pretio ſacrificarunt; vt nobis Tragicæ narrationis ſeries exponit. Sic, quæ antea multis eminebat filijs, ſenex Hecuba Regina, filijs orbata, ſerua tandem, & captiua infelix abducitur, hàc atque illàc pererrans; & ſuppetias ſibi inanes paſſis capillis conquirens, genas dilanians, grauique cum dolore ſuſpirans, Græcarum copiarum ductorum genua amplectebatur,

δίων οὕτως ὑπὸ φθορὰν
ἀχθέντων ὑπὸ τὸν ἥλιον,
οἰκτρῶς ἥλιε. ταῦτα δὴ
τὰ τῆς τύχης ἐγκαλλωπίσματα.
ταῦτα τοῦ βίου τὰ
δυστερπῶς γε συμβαίνοντα,
πρὸς ἅπερ ὁρῶντας
ἡμᾶς δέον φροῦδον
ἡγεῖσθαι τὴν τοῦ βίου περιπέτειαν,
καὶ μόνον ἀφορᾶν
εὐχαρίστως πρὸς τὴν
ἄνωθεν πρόνοιαν, ἥ τις
ἄρα μηχαναῖς βροτείοις
οὐ πέφυκεν ὑποκλέπτεσθαι.
ἀλλ᾽ ὁ πρὶν μὲν
φίλος αὐτῆς τῆς Ἑκάβης
Πολυμήστωρ, ὑστάτως δὲ
κατὰ καιρὸν δυστυχίας ἥλικος
ἐχθρὸς ἄσπονδος,
ὁ τὸν ἀνατεθέντα τούτῳ
παῖδα ταύτης ἀναιρήσας
ἐπικλόπως Πολύδωρον,
ὕστατα δὲ ἀποτυφλωθεὶς
ἐνδίκως κερσὶ
τῇ ἀδικηθείσῃ ταύτῃ
μητρὶ τοῖον ἀδίκημα
κατὰ χρόνον τῆς τοῦ τυφλω-

tur. cùm omnes illius
filij ſub ſole, miſerandum
in modum (ò
Sol !) internecione
deleti fuiſſent. Et hi
equidem ſunt fortunæ
ornatus; hi vitæ
ingrati euentus; ad
quos reſpiciẽtes nos
addecet inanem vitæ
huiuſce ęſtimare proſperitatem,
mentiſq;
aciẽ grato animo in
ſupernam tantũ prouidentiam
intendere,
quæ mortalium artibus
eludi non valet:
Sedenim, qui priùs
fuerat amicus Hecubæ,
Polymeſtor, at
infortunio poſtremo
hoſtis implacabilis,
qui depoſitum ſibi illius
filium Polydorũ
fraudulenter peremerat,
tandemq; oculorũ
nec immeritò, à Matre;
cui iniuriam intulerat,
radijs orbatus, cœcitatis ſuæ tempo-

θέντος ἀποτυφλώσεως, πρὸς αὐτὴν αὐτὸς μεμηνὼς ἐξεφοίβασεν. Ὦ τάλαινα, κύων γε γενήσῃ, πυρσὰ ἔχουσα δέργματα, ἤτοι πυρώδη βλέμματα. ταῦτα οὖν εἶπεν, εἰκότως οἶμαι, ὡς τῇ λύπῃ πυρσωθείσης τοὺς ὀφθαλμοὺς τῆς Ἑκάβης, καὶ μανίᾳ τῇ πρὸς αὐτοὺς τοὺς λυπήσαντας. ὀφθαλμοὶ γὰρ πάντως λυπουμένων ὡς τὰ πολλά, καὶ μαινομένων πυρσώδεις πεφύκασιν, γονίμως ἀποτίκτειν σκυλάκια, ναὶ μὴν καὶ τῶν λυπούντων τοὺς ὀδόντας ἐκτρίζειν πυρσοῖς ὄμμασι, καὶ ὑφέρπειν ὀλεθρίῳ θυμῷ νέρθεν καρδίας παφλάζοντι πρὸς τούτων τὸν ὄλεθρον, οὕτω τὸ τοῦ τυφλωθέντος τεκμηριῶδες Πολυμήστορος φοίβασμα εὐφυῶς προσηρμόσε τῷ περὶ τὴν Ἑκάβην τηρηθέντι πάθει, καὶ πραγ-

rè hæc ad illam, inſaniés, veluti ex oraculo, fudit: Canis fies, ò miſera, igneos deferens oculos. Nec præter rem dixerat; nanque & mœrore, & inſania in eos, qui ipſi cauſa mœroris fuerant, oculi Hecubæ igniti exarſerant. Mœrentium ſiquidẽ oculi, vt plurimùm, & inſanientium igneſcunt, & fœcundè catulos progenerant; in eos etiam, qui triſtitiá afferunt, ignitis oculis, dentibus ſtridũt, & noxia rabie in corde ebulliente, eorum interitũ ſubdolè machinantur. Nec alio modo obcęcati Polymeſtoris oraculum aptè morbo, & malo, quod in Hecuba poſtmodum locum habuit, adaptatur. Siue verò

vati-

μάτι ὕστατα, εἴτε δὲ γνώσει τοῦ φοιβάζαντος, εἴτε καὶ συμβεβηκὸς πεφοίβαστο τὰ ῥημάτια, ἡμεῖς μὲν οὐκ ἴσμεν. ἡ δὲ συνείδησις τοῦ εἰπόντος, καὶ Θεὸς περὶ τούτου ἐπίσταται. Πέρας ἄρτι τῶν παρ' ἡμῖν συλλεχθέντων, καὶ τῷ παρόντι πίνακι ἐκτεθέντων, ἀκολούθως πάντων συντηχέντων εἰς εἴδησιν ἀκριβεστέραν τῶν τησιουργηθέντων περὶ τὴν Τροίαν πραγμάτων πάντων, καὶ πασῶν ὑποθέσεων, καὶ τῆς Τροίας τεθρυλλημένης πορθήσεως. οἱ γοῦν ἐντυγχάνοντες τούτοις, καὶ συλλογιζόμενοι καὶ νῦν, ὁποῖος ὁ περὶ ταῦτα πόνος, καὶ τὰ πρὸς τούτων γεγένηται τοῦ συλλέξαντός τε ταῦτα, καὶ τὰ ἄλλα ἐκ διανοίας χαμερποῦς, καὶ γλώσσης ἀ-

vaticinantis id præſcientia, ſiue etiam forte fortuna verba illa effuſa ſunt, nos equidem haud nouimus; licet enunciantis ſcientia, & ante enunciantem Deus catè id calleat. Et hìc finis fuerit eorũ, quæ à nobis collecta, in preſenti Libellulo digeſta ſunt; quæ maximè conducunt ad exactiorem omnium circa Troiam geſtorũ argumẽtorum, & decantatiſſimi Troiani excidij cognitionem comparandam. Qui porrò hæc legitis, laborem, quem in his colligendis, ac digerendis, atque alijs ex mente humili, & lingua indigente, ac inope conſcribendis, conſumpſimus, quantus fuerit, animo dijudicantes,

pro

πόρου συγγράψαντος, ὑπὲρ τῆς τούτου ψυχῆς πρὸς τὸν Κύριον δέησθε.

Εἰκὸς δὲ καὶ τὰ παρ' ἡμῶν πρὸς τοῖς ἄλλοις συλλεχθέντα Χαρακτηρίσματα Ἑλληνικῆς ἐκκρίτων ἀνδρῶν, καὶ Τρωϊκῆς ὁμηγύρεως, ἔτι τε συμβεβηκότα τινὰ περὶ εἴδη τούτων, καὶ σώματι, ἀναγγεῖλαι συνεπτυγμένως τοῖς ἐντυγχάνουσιν. ἵνα κἀκ τούτων παραψυχήν τινα λόγων ἐρανίζοιντο. καὶ δὴ καὶ λεκτέον. τὰ μικρὰ γὰρ τοῖς μεγάλοις, οἷά τινες παῖδες ἤδη τεκτόνων, περιαπλάττομεν, περίβολόν τινα τυχὸν συναπαρτίζοντες πόλεως, καὶ τοὺς μικροὺς κάχληκας τοῖς μεγάλοις λίθοις, καὶ τετραγώνοις περὶ τὴν διαρτίαν ὅλην τοῦ τείχους τεχνικῶς ἐφαρμόττοντες.

pro Scriptoris anima Deo preces, exoro, effundite.

NOn abs re præterea fuerit, quę nos inter alia Græcarum copiarum, cætuſque Troiani Virorum celebrium lineamenta, & nonnulla eorundē formæ, & corpori adnexa collegimus, quā breuiſſimè Lectoribus exponere; vt hinc quoque hos ſermones percurrentes ſolamen habeant. Et iam dicamus; parua enim ingentibus, veluti fabrorum filij, cōnectimus, qui ambitum Vrbis extruentes, puſillos glarearum lapillos ſaxis magnis, quadratiſque ad perfectam totius muri ſtructuram artificiosè adaptant.

ΑΓΑΜΕΜΝΩΝ.

Βασιλεὺς Ἀγαμέμνων μέγας ἦν, λευκὸς, εὔρινος, δασυπώγων, μελαίθριξ, μεγαλόφθαλμος, ἀπτόητος, εὐγενὴς, μεγαλόψυχος.

ΜΕΝΕΛΑΟΣ.

Ὁ Μενέλαος, ὁ τούτου ἀδελφὸς, βραχὺς, εὔστηθος, πυῤῥὸς, ἰσχυρὸς, δασυπώγων.

ΑΧΙΛΛΕΥΣ.

Ὁ Ἀχιλλεὺς, εὔστηθος, μέγας τὸν ὄγκον τοῦ σώματος, μακροσκελὴς, σπανὸς, ξανθὸς, εὐπρόσωπος, οἰνωπανὴς, γοργοὺς ἔχων τοὺς ὀφθαλμοὺς, πολύθριξ, μακρόῤῥιν, τοὺς πόδας ὀξὺς, καὶ τοῖς ἅλμασι δόκιμος, δεινὸς πολεμιστὴς, εὔχαρις, φιλήδονος, μεγαλόψυχος, καὶ καλλίφωνος. ταῦτα τούτου τὰ

AGAMEMNON.

Rex Agamemnon magnus erat, candidus, naſo pulchro, protenſa barba, nigro capillamento, oculis ingentibus, intrepidus, nobilis, magnanimus.

MENELAVS.

Menelaus illius frater, breuis, pulchro pectore, fuluus, fortis, denſa, promiſſaque barba.

ACHILLES.

Achilles lato pectore, mole corporis ingens, pręlongis cruribus, barba rara, rufus, decora facie, ac venuſta, vineis, ac viuacibus oculis, ſpiſſo capillamento, naribus protéſis, pedibus acer, ſaltibus exercitus, bellator acerrimus, gratioſus, voluptatibus deditus, magnanimus, pulchra voce. Hæ eius proprieta-

ἰδιώματα, τὰ μὲν τὴν τούτου δραστηρίαν ἐνέργειαν τεκμαιρόμενα, τὰ δὲ τοῦ φυσικοῦ θυμοῦ, καὶ προαιρετικοῦ τὴν ὀξύτητα. ὁδ' αὖ τούτου διάπυρος φίλος.

ΠΑΤΡΟΚΛΟΣ.

Ὁ Πάτροκλος, παχὺς τὸ σῶμα, καὶ ἰσχυρὸς, τὴν ἡλικίαν σύμμετρος, ὑπόξανθος, λευκόπυῤῥος, εὐπρόσωπος, εὐόφθαλμος, εὐγενὴς, δυνατὸς πολεμιστὴς, κατεσταλμένος, εὐπώγων.

ΟΔΥΣΣΕΥΣ.

Ὁ Ὀδυσσεὺς, διμοιραῖος, λευκὸς τῷ σώματι, ἁπλόθριξ, εὐπώγων, μελάγχρους, μιξοπόλιος, συνόφρυς, εὔρινος, μεγαλόψυχος, δυνατὸς πολεμιστὴς, προγάστωρ, ἠθικὸς, εὐόμιλος.

tes, partim eiuſdem in rebus agendis prõptitudinem, ac vehementiam, partim innatum furorem, ac impetum indicantes. illius verò perditus, ac tener amator.

PATROCLVS.

Patroclus obeſo corpore, ac robuſtus, mole artuum moderata, ſubrufus, colore fuluo, alboque, decora facie, pulchris oculis, nobilis, bellator fortis, modeſtus, barba venuſta.

VLYSSES.

Vlyſſes, duplarius, corpore candidus, capillo molli, demiſſa barba, colore niger, pilis quandoque albis, ſupercilio contracto, patulis naribus, magnanimus, bellator robuſtus, ventre prominente, moratus, ſuauiloquus.

ΔΙΟΜΗΔΗΣ.

Ὁ Διομήδης τὴν ἡλικίαν τετράγωνος, ἰσχυρὸς, ξανθὸς, εὔσχημος, μελίχρους, εὐπρόσωπος, καὶ ὑπόσιμος, ξανθοπώγων, οἰνοπαὴς τοὺς ὀφθαλμοὺς, σώφρον, καὶ βραχυτράχηλος.

ΝΕΣΤΩΡ.

Νέστωρ ὁ γεραιὸς, καὶ μέγας τοῖς Ἕλλησι σύμβουλος, μέγας τῇ ἡλικίᾳ, κατάῤῥινος, ὑπόπυῤῥος, πολιόθριξ, γλαυκόφθαλμος, πολιοπώγων, μακρόψις, εὐσύμβουλος, φρόνιμος.

ΠΡΩΤΕΣΙΛΑΟΣ.

Ὁ Πρωτεσίλαος, ἁπλόθριξ, ὑπόξανθος, ἀρχιγένειος, μακρὸς, εὔθετος, τολμηρὸς, πολεμιστής.

ΠΑΛΑΜΗΔΗΣ.

Ὁ Παλαμήδης, μακρὸς, λεπτὸς, λευκὸς,

DIOMEDES.

Diomedes corporis mole quadratus, fortis, rufus, bene figuratus, colore melleo, decora facie, ſubſimus, barba rufa, oculis vineis, caſtus, & collo decurtato.

NESTOR.

Neſtor ſenex, magnuſque Græcorum conſultor, mole grandis, extenſis naribus, ſubrufus, capillamento niueo, oculis cæſijs, barba alba, prælonga facie, benè cõſulens, prudens.

PROTESILAVS.

Proteſilaus capillo ſimplici, ſubrufus, barba tum primùm erumpente, longus benè compoſitus, audax, bellator.

PALAMEDES.

Palamedes longus, gracilis, albus, protenſa facie, patulis nari-

 bus,

μακρόψις, δ᾽ εινος, ἁπλόθριξ, μελανόθριξ, μικρόφθαλμος, οἰνωπανής, λαρύγγας, ἤτοι λαυραγόρας, φρόνιμος, εὐπαίδευτος, πολύβουλος, μεγαλόψυχος. ὃ δὴ πρώτως τὸ ταυλίζειν, ἤτοι κυβεύειν ἐξεύρηται. ἐκ γοῦν τῆς κινήσεως τῶν ἐν οὐρανῷ ἑπτὰ πλανητῶν, τῶν κατὰ μοιρικὴν τύχην, ὥς φασιν, ἐπαγόντων χαρὰς τοῖς ἀνθρώποις καὶ λύπας, ἐστήσατο τὴν Ταῦλαν, ἤτοι τὸν πίνακα τοῦ παιγνίου, τὸν γήϊνον κόσμον. τοὺς δὲ δώδεκα κάσους, ἤτοι τὰ χαρακώματα τούτου, τὸν ζωδιακὸν ἀριθμόν. καὶ τὸ Ψηφόβολον, καὶ τὰ ἐν αὐτῷ κοκκία, ἅπερ τῷ κύβῳ ῥιπτάζονται, ὡς ἀναλογοῦντα τοῖς ἄστρασι. τόν τε πύργον αὐτόν, τὸν καλούμενον Μόδιον, τὸ ὕψος αὐτοῦ τὸ οὐράνιον αἰνιττόμενον. ἐξ οὗ καὶ

bus, capillo ſimplici, & nigro, oculis nigris, colore vineo, ſermone altè reſonans, benè inſtructus, conſilijs fæcundus, magnanimus. Ille primus omnium talorum ludum adinuenit. & ex ſeptem erronum cœleſti motu, qui fatali fortuna, vt tradunt, gaudia, & mœſtitiam hominibus ingerunt, Tabulam ludi, terreſtrem hunc Mundum referentem conſtruxit; duodecim illius aggeres, ſeu vallos Zodiaci numerum, & inſtrumentum, quo calculi proijciũtur, proportione ſtellis reſpondentes, & Turrim nuncupatã Modium, cœleſtem innuens altitudinem, ex quo pro merito, vt Græci aſſerunt, bona

ac

ἔρχονται εἰς τιμὰς καὶ ἀνταπόδοσιν, ὡς φασὶν Ἕλληνες, κακὰ καὶ καλά. τούτοις ἐν ὁ Παλαμήδης, σοφίᾳ πεπαιδευμένος ὤν, πάλαι τὴν Τάβλαν ἀπήρτισεν.

ΜΗΡΙΟΝΗΣ.

Ὁ Μηριόνης βραχὺς ἦν, πλατὺς, λευκὸς, εὐπώγων, μελανόφθαλμος, μελάγκορος, οὐλόθριξ, πολύθριξ, στρεβλόρινος, πολεμιστὴς, περίεργος, μεγαλόψυχος.

ΙΔΟΜΕΝΕΥΣ.

Ὁ Ἰδομενεὺς, διμοιραῖος, μελάγχρους, εὐόφθαλμος, μελανόθριξ, μελάγκορος, φρόνιμος, εὐπώγων, πολύθριξ, εὔστοχος τοξότης, μεγαλόψυχος.

ΑΙΑΣ Ο ΛΟΚΡΟΣ.

Αἴας ὁ Λοκρὸς, εὐσθενὴς, μελίχρους, εὔρι-

ac mala procedunt. His itaque Palamedes ſapientia, ac diſciplinis prædịtus Tabulam abſoluit.

MERIONES.

Meriones breuis erat, latus, candidus, protenſa barba, oculis, ac pupillis nigris, criſpo, denſoque capillamento, recuruis naribus, bellator, curioſus, magnanimus.

IDOMENEVS.

Idomeneus duplarius, colore nigro, pulchris oculis, nigro capillamento, nigris pupillis, prudens, promiſſa barba, capillis denſis, iaculandi peritus, ac ſolers, magnanimus.

AIAX LOCRVS.

Aiax Locrus validè robuſtus, colore melleo, benè naſutus, oculis non vſque-

νος, ἑτερόφθαλμος, οὐλόθριξ, μελάνθριξ, δασυπώγων, μακρόψις, πολεμιστὴς, τολμηρὸς, μεγαλόψυχος, καταγυναιος.

ΠΥΡΡΟΣ.

Πύῤῥος, ὁ καὶ Νεοπτόλεμος, εὐῆλιξ, λεπτὸς, εὐθώραξ, λευκὸς, εὔριν, πυῤῥόθριξ, οὐλὸς καὶ ὑπόγλαυκος, μεγαλόψυχος, ξανθόφρυς, ἀρχιγένειος, στρογγυλόψις, προπετὴς, τολμηρὸς, εὔσκυλτος, πικρὸς πολεμιστής. οὗτος δὲ ὑπῆρχεν υἱὸς τοῦ Ἀχιλλέως, κατὰ τὴν τούτου ὁμοίωσιν γνώμης πολεμικῆς τῇ πικρότητι. ἦν δὲ ἐκ Δηϊδαμείας θυγατρὸς Λυκομήδους. ὃς μετὰ τελευτὴν Ἀχιλλέως διεπέμφθη ὑπὸ Θέτιδος, καὶ Πηλέως πάππου αὐτοῦ, αἰτηθεὶς ὑπὸ τῶν Ἀχαιῶν,

quaque ſimilibus, criſpo,nigroque capillamento, denſa barba, facie oblonga, bellator, audax, magnanimus, in mulieres propenſus.

PYRRHVS.

Pyrrhus, qui & Neoptolemus eſt,corpore grandis, macer, lato pectore, candidus, patulis naribus, fuluo, criſpoque capillamento,ſubcæſius magnanimus,ſupercilijs flauis, prima barba decorus, rotunda facie, procax, audax, peropportunè adoriens, bellator amarus. Hic filius Achillis, acriter, vti pater, amarèq; pugnam inibat, ſatus Deidameia, filia Lycomedis. qui defuncto Achille, à Thetide, & Peleo auunculo mittitur, requiſitus ab Argiuis,

ὡς τοῦ Ἀχιλλέως φθόνῳ, καὶ δόλῳ φονευθέντος παρὰ τοῦ Πάριδος Ἀλεξάνδρου, ἐκδικῆσαι τὸ πατρῷον αἷμα. καὶ ὁπλισάμενος εἰς Ἴλιον ἐπεστράτευσε σὺν νηυσὶ κβ΄. ἐκ τοῦ Πηλέως λαβὼν ἴδιον στρατὸν. Μυρμιδόνων τὸν ἀριθμὸν χιλίων ἑξακοσίων ἐννενήκοντα, καὶ ἀποπλεύσας κατέλαβε τὴν Τροίαν, καὶ εὗρεν εἰς τὰς ἰδίας σκηνὰς τοῦ ἰδίου πατρὸς Ἱπποδάμειαν τὴν Βρισηΐδα τὴν Ἀχιλλείων πάντων πραγμάτων φύλακα, ἣν ἀποδεξάμενος εἶχεν ἐν πολλῇ τιμῇ ὁ ἐλθὼν, αἰτήσας αὐτὴν φύλακα εἶναι καὶ τῶν αὐτοῦ ἐν τῇ πατρῴα σκηνῇ. καὶ μετ' ὀλίγον καιρὸν νόσῳ καὶ αὐτὴ τετελεύτηκεν.

vt Achillis patris inuidentia, & dolo à Paride Alexandro interempti ſanguinem vlciſceretur. tum armis, cōpijſque conſtipatus cum viginti & duabus nauibus in Ilium exercitum duxit, quem ſibi Peleus dederat, nonaginta ſupra ſexcentos, & mille homines. Troiam cùm appuliſſet in ſui Parentis tentorio Hippodamiam, quæ & Briſeis dicta eſt, inuenit, rerum omnium, ac facultatum Achillis conſeruatricem, quam excipiens in multo habuit honore: poſtulauitque, vt in paterno tentorio ſuarum quoque facultatum cuſtos eſſe vellet. nec diu poſt morbo, & ipſa vitam finijt.

ΚΑΛΧΑΣ.	CALCHAS.
Ὁ Κάλχας ὁ μάντις, λευκὸς, λεπῖος, τὴν κάραν ὁλοπόλιος, πολύθριξ τὸ γένειον, μάντις, καὶ οἰωνοσκόπος ἄριστος.	Calchas vates, candidus, tenuis, niueo capite, denſa barba, vates, & vaticiniorũ potiſſimùm, quæ ex Auium volatu accipiuntur, coniector optimus.
Οὗτοι μὲν ἦσαν τῶν Ἑλλήνων οἱ πρόκριτοι σὺν τῷ Τελαμωνίῳ Αἴαντι, οὗ τὰ ἰδιώματα οὐκ εὕρομεν ἀναγεγραμμένα καὶ συνηριθμημένα τῷ πίνακι τοῦ παλαιοῦ, ἐν ᾧ καὶ τῶν λοιπῶν ἡ ἀπαρίθμησις παρ' ἐκείνου γέγονε· διὸ καὶ παρ' ἡμῶν ἐν τῇ παρούσῃ ἀπαριθμήσει κατελείφθησαν ἄγραφα.	Hi porrò erant Græcorum primates, cum Aiace Telamonio, cuius notas in Tabula antiqua in qua reliquorum enumerabantur, neque deſcriptas, neque numeratas comperimus: propterea & à nobis in hac enumeratione ſcriptis mandatæ non ſunt.
Τῆς δὲ Τροίας οἱ ἔκκριτοι οὗτοι.	*Hi verò præcipui Troianorum.*
ΠΡΙΑΜΟΣ.	PRIAMVS.
Ὁ Πρίαμος ὁ βασιλεύσας τῆς Τροίας, εὐμήκης τὴν ἡλικίαν, μέγας τὸν ὄγκον τοῦ σώματος, καλὸς τὸ πρόσωπον, πυῤῥὸς τὴν ῥίχα, γέρων	Qui Troiæ imperiũ tenuit, prælongo corpore, mole ingens, decorus facie, flauus capillamento, ſenex,

ὑπόγλαυκος, μακρόῤῥιν, εὐόφθαλμος, πολύθριξ, καὶ συνοφρυς. τούτῳ ἔχων συνεζευγμένην τὴν τῆς δυστυχίας ἐκείνης, καὶ δυσδαιμονίας κακότητα, ἤ τινι προσταλαιπωρήσας οἰκτρῶς πάλαι, τέλος ζωῆς ἀθλίας διὰ τοῦ σωματικοῦ χοὸς τῷ χοῒ ἀπέδωκεν ὁ τρισάθλιος.

ΔΗΙΦΟΒΟΣ.

Ὁ Δηίφοβος, διμοιραῖος, εὐθώραξ, εὐόφθαλμος, ὑπόσιμος, οὐλόθριξ, εὐπώγων, πλατυόψις, γενναῖος.

ΕΛΕΝΟΣ.

Ὁ Ἕλενος, μακρὸς, εὔθετος, λευκὸς τὸ χρῶμα τοῦ σώματος, ἰσχυρὸς, μακρόθριξ, λεπτοχαράκτηρος, ἀρχιγένειος, ὑπόκυρτος, φρόνιμος, πολεμιστὴς, οἰνοπαὴς τοὺς ὀφθαλμούς.

ſubcæſius, protenſis naribus, pulchris oculis, ſpiſſo capillo, & contracto ſupercilio; is coniuncta infortuniorum, ac calamitatum incommoda ferens: quibus miſerè conflictatus multo etiam priùs, tandē terreſtre corpus terræ miſerrimus depoſuit.

DEIPHOBVS.

Deiphobus duplarius, lato pectore, venuſtis oculis, ſubſimus, criſpo capillamento, prolixa barba, lata facie, generoſus.

HELENVS.

Helenus prælongus, benè compoſitus, colore corporis candidus, robuſtus, capillis longis, ſimplici lineamento, prima barba, ſubcuruus, prudens, bellator, oculis vineis.

ΤΡΩΙΛΟΣ.	TROILVS.
Ὁ Τρωΐλος, μέγας καὶ καλὸς, εὔριν, ἁπλόθριξ, μελισσόθριξ, μελανόθριξ, μελίχρους, καλόφθαλμος, δασυπώγων, ἰσχυρὸς, πολεμιστής.	Troilus procerus, pulcher, patulis naribus, ſimplici, & apum colore, & quãdoque nigro capillamento, colore melleo, pulchris oculis, denſa barba, robuſtus, bellator.
ΠΑΡΙΣ.	PARIS.
Ὁ Πάρις Ἀλέξανδρος, εὐήλιξ, εὐσθενὴς, λευκὸς, εὔριν, εὐόφθαλμος, οὐλόθριξ, μελανόθριξ, μακρόψις, πολύθριξ, ἀρχιγένειος, κατόφρυς, εὔχαρις, μεγαλόστομος, τοξότης εὔστοχος, δειλὸς περὶ πόλεμον.	Paris Alexander, ſtatura commoda, ac firma, candidus, pulchris oculis, criſpo, & nigro, & denſo capillamento, longa facie, primęua barba, demiſſis ſupercilijs, gratioſus, ore ingenti, iaculator optimus, in bello meticuloſus.
ΑΙΝΕΙΑΣ.	ÆNEAS.
Ὁ Αἰνείας, παχὺς, ἔυστηθος, ἰσχυρὸς, πλατυόψις, εὔριν, λευκόχρους, εὐπώγων, γλαυκὸς, νουνεχὴς, φρόνιμος, εὐσεβής.	Æneas pinguis, pectore lato, robuſtus, lata facie, naſo decoro, colore albo, barba demiſſa, cæſius, mente potens, prudens, pius.

AN-

ΑΝΤΗΝΩΡ.

Ὁ Ἀντήνωρ μακρὸς, λεπτὸς, ἰσχυρὸς, λευκὸς, μικρόφθαλμος, γλαυκὸς, καμπυλόρριν, λευκοχαράκτηρος, εὔλογος, ἀσφαλὴς, πολυΐστωρ, ἐλλόγιμος.

ΕΚΑΒΗ.

Ἡ πολύτλητος Ἑκάβη, καὶ δύστηνος, μελίχρους, γραῦς, εὐόφθαλμος, ὡραία, εὔριν, φιλότιμος, εὐόμιλος, ἥσυχος, πάσας οἶμαι γυναῖκας ὑπερβεβηκυῖα τοῖς ἀτυχήμασιν.

ΑΝΔΡΟΜΑΧΗ.

Ἡ Ἀνδρομάχη ἡ τοῦ Ἕκτορος σύνευνος διμοιραία, λεπτὴ, εὔστολος, εὔριν, εὐόφθαλμος, εὔοφρυς, οὐλόθριξ, ὑπόξανθος, ὀπισθόκομος, μακροπρόσωπος, εὐτράχηλος, εὔχαρις, γοργὴ

ANTENOR.

Antenor longus, tenuis, fortis, candidus, puſillis, cæſiiſque oculis, naſo decuruo, lineamento candidô, ſuauiloquus, ſecurus, multiſcius, eruditus.

HECVBA.

Multa perpeſſa, infortunataque Hecuba; colore melleo, ſenecta affecta, pulchris oculis, decora facie, venuſto naſo, ambitioſa, colloquijs prompta, quieta, omnes, vt arbitror, mulieres ipſa infortunijs ſuperans.

ANDROMACHA.

Andromacha Hectoris vxor, duplaris, gracilis, benè cõpta, pulcho naſo, pulchis oculis, pulchro ſupercilio; intortis capillis, ſubrufa, cæſariem retrò protendens, longa ſacie, collo decoro,

τὴν διάνοιαν, γελασίνας ἔχουσα τὰς παρειάς.

ΚΑΣΣΑΝΔΡΑ.

Ἡ Κασσάνδρα συνύδυνος οὐδενὸς, βραχεῖα, στρογγυλοπρόσωπος, λευκὴ, πάνυ, ἀνδρώδης τὴν πλάσιν, εὔριν, εὐόφθαλμος, μελάγκορος, ὑπόξανθος, καρηκομῶσα, οὔλη, εὐτράχηλος, ὀγκόμματος, μικρόπους, παρθένος ἁγνὴ, καὶ πάντα προλέγουσα.

ΠΟΛΥΞΕΝΗ.

Ἡ Πολυξένη, μακρὰ, καθαρὰ, λευκὴ, πάνυ ἀνδρώδης τὴν πλάσιν, μελανόφθαλμος, μελάνθριξ, οὔλη, εὔριν, εὐόφθαλμος, ὀπισθόκομος, λεπτοπρόσωπος, μικρόστομος, εὔχαρις, ἀνθηρόχειλος, μικρόπους, παρθένος, μηλόμαθος, ὡραία, ἐνιαυτῶν οὖσα ιη'.

ro, gratioſa, ad res intelligendas ſolers, dulcè ridentibus genis.

CASSANDRA.

Caſſandra nemini iuncta, breuis, rotunda facie, candida, ſtructura corporis virili, naribus, oculiſque decora, pupillis nigris, ſubrufa, cæſariem ferens contortam, collo venuſto, tumêtibus oculis, pede puſillo, caſta virgo, & prædicens omnia.

POLYXENA.

Polyxena, longa, munda, candida, ſtructura corporis maximè virili, nigris, pulchriſque oculis, nigro, intortoque capillamento, naſo decoro, retro cæſariem portans, tenui facie, puſillo ore, gratioſa, labijs floridis, pede puſillo, virgo, mamillis pomorum inſtar protulerantibus, pul-

ἥτις τοῖς Ἕλλησι παρανόμως ἁρπαγεῖσα μητρικῶν ἀγκαλῶν περὶ τὸν τάφον τοῦ Ἀχιλλέως ἐσφαγιάσθη.

ΕΚΤΩΡ.

Ὁ Ἕκτωρ ὁ τοῦ Πριάμου καὶ τῆς Ἑκάβης υἱὸς, ὁ πάντων οἶμαι τῶν Τρώων καὶ τῶν Ἑλλήνων στρατηγικώτερός τε καὶ ἀνδρειότερος, καὶ τῶν ὅπλων μεταχειρίζεσι περιδέξιος, ὁ τῷ ποιητῇ θρυλλούμενος. οὗτος κορυθαίολός τε, καὶ φλογὶ εἴκελος, καὶ λεοντώδης τὴν περὶ μάχην ὁρμᾶς, μελάγχρους ἦν, πάνυ μακρὸς, εὔσαρκος, δυνατὸς ἐν ἰσχύι τοῦ σώματος, εὔριν, οὐλόθριξ, εὐπώγων, ψελλὸς, ἑτερόφθαλμος, εὐγενὴς, φοβερὸς πολεμιστὴς, ἐν πολέμῳ βαρύφωνος.

pulcra, annorum decem & octo. Hæc impiè ex maternis amplexibus rapta à Græcis in ſepulcro Achillis trucidatur.

HECTOR.

Hector Priami, & Hecubæ filius, Troianorum omnium, Græcorumq; ducendis copijs peritiſſimus, ac validiſſimus, & in armis pertractādis inſtructiſſimus, à Poëta ſummopere decantatus. Hic galea variè ornata irradians, & igni aſſimilis, & in conſerenda pugna Leonis animū gerens, erat colore nigro, prælongus, moderatè pinguis, robore corporis validus, patulis naribus, intorto capillamento, barba demiſſa, balbutiens, non vſquequaq; ſimilibus oculis, nobilis, bellator vehemens, in bello grandiloquus.

Τοιαῦτα δὴ τοῦ τοιούτου ἀνδρὸς τὰ χαρακτηρίσματα, τεθέντος ἐσχάτου μὲν ἐν τῇ παρούσῃ ἀπαριθμήσει, πρώτου δὲ πάντων Ἑλλήνων, καὶ Τρώων. ὄντως κατὰ πόλεμον, ὡς οἰόμεθα, τῆς περὶ τοῦτον ἐνεργείας, καὶ δραστηριότητος τοῦ ἀνδρὸς μαρτυρούσης, τοῦτο δή τὸ νῦν παρ' ἡμῶν διαφημιζόμενον.

Ἀλλὰ ταῦτα πάντα τὰ περὶ τοὺς ἄνδρας ἐγγεγραμμένα, καὶ θεωρούμενα ὁ σοφώτατος ἐκεῖνος Δίκτυς ὑπεμνημάτισεν ἀληθῶς, ὁ ἐκ τῆς Κρήτης ὁρμώμενος. οὐ μὴν μόνον ταῦτα τὰ ἰδιώματα τῶν ἀνδρῶν φημὶ, ἀλλὰ καὶ τὰ γεγονότα πάντα περὶ τὴν Τροίαν παρά τε τῶν Ἑλλήνων, καὶ τῶν Τρώων συρρηξάντων τὸν περιβόητον πόλεμον. τὴν γὰρ αὐ-

Et hæ Hectoris, in hac enumeratione vltimum locū habentis, ſed primi Græcorū, omnium, ac Troianorum, notę ſunt. Hic in bello, vt ipſi opinamur, & viri circa illud facinora, & vehemētia teſtimonium præbent, gloriam maximam, cuius nos ipſi nunc meminimus, conſecutus eſt. Et hęc quidem de his hominibus in hac Opella deſcripta, ac pertractata Dictys ille ſapientiſſimus verè, ex Creta originem ducens, monumentis ſuis mādauerat; à quo nō horum ſolūmodò lineamenta, ſed cætera omnia inter Græcos ac Troianos, dū bellum inter ſe ſtrenuiſſimè, ac maxima cum laude conſerebatur, expreſſa ſunt: hic

τος· ὁ συγγραφεὺς τότε μετὰ τοῦ Ἰδομενέως ἐκείνου τοῦ προμάχου τῶν Δαναῶν τοῖς Ἕλλησι συστρατεύσαντος. καὶ γὰρ καὶ τοῦτον ὁ Δίκτυς αὐτὸς συνεγράψατο, ὡς παρὼν, καὶ ὄψει καθιστορήσας πάντα τὰ παρ' αὐτοῦ γεγραμμένα. καὶ μὴν καὶ τοὺς προτραπέντας ὑπὸ Ἀγαμέμνονος, καὶ Μενελάου τῶν αὐταδέλφων βασιλέων, ἀποπλεῦσαι, καὶ κατελθεῖν σὺν αὐτοῖς εἰς τὴν Ἴλιον ὁ Δίκτυς αὐτὸς συνεγράψατο. ἀλλ' ὁ μὲν Ἀγαμέμνων τε, καὶ Μενέλαος υἱοὶ τοῦ Ἀτρέως τυγχάνοντες τῶν Ἑλλήνων αὐτῶν μεγαλοπρεπῶς ἡγεμόνευον εἰς Τροίαν πανστρατὶ διὰ ναυτικοῦ στόλου παραγενόμενοι, καὶ πάντα τῇ μετὰ τῶν Τρώων διαμάχῃ παθόντες τε, καὶ ποιήσαντες

hic nanque Scriptor tunc temporis cum Idomeneo illo Danaorum propugnatore pro Græcis militauerat. Ea omnia Dictys ſcripto mandauit præſens, & quæ in monumentis recēſuerat, oculis vſurpans; cum ijs quoque qui ab Agamemnone, Menelaoque germanis fratribus Regibus, ad expeditionem illam perſuaſi adnauigauerant, ſe in Ilium veniſſe ſcriptum reliquit. Veruntamen Agamemnon, ac Menelaus Atrei filij magnificè Græcis imperabant, dùm Troiam cum vniuerſo exercitu nauibus conducto aduenisſent: omnia autem inter pugnandum cum Troianis, tum quæ geſſere, tum quæ perpeſſi ſunt,

Poë-

τες ὅσαπερ δήπερ ὁ Ποιητὴς Ὅμηρος τῇ παρούσῃ βίβλῳ διὰ τῶν κδ´ Γραμμάτων ἡμῖν διεσάφησεν. ἡμεῖς δὲ τοῖς δυσὶν ἡγεμόσι τούτοις τελευταῖον ἄρτι πέρας τῶν παρ' ἡμῶν πονηθέντων, καὶ γραφέντων τῷ παρόντι τιθέαμεν πίνακι τὴν τῶν ἐντυγχανόντων τούτῳ εὐκτικὴν εὔνοιαν διὰ τῶν ἀναγεγραμμένων παρ' ἡμῶν ἐν Θεῷ προσκαλέμενοι.

Poëta Homerus in hoc Volumine per viginti quatuor Literas explanauit. Nos autem cũ hiſce duobus ducibus, rebus à nobis elaboratis, cõſcriptiſque finem vltimum hac in tabella imponentes, legentium in ea beneuolẽtiam, & preces propter ea, quæ ſcripſimus, ad Deum expoſcimus.

ΑΝΩΝΥΜΟΥ

Περὶ τῶν δώδεκα ἄθλων τοῦ Ἡρακλέους.

ANONYMI

De duodecim Certaminibus Herculis.

LEONE ALLATIO INTERPRETE.

Τὸν ἐν Νεμέᾳ Λέοντα, Ὕδραν, Ἔλαφον, Κάπρον,
Κόπρου Αὐγέου κάθαρσιν, ὄρνιθας Στυμφαλίδας,
Ταῦρον τὸν Κρήτηθεν, ἵππους Θρακικὰς Διομήδους,
Ζωστῆρα Ἱππολύτης τε, βόας τε Γηρυόνου,
Μῆλα τὰ Ἑσπερίδων τε, Κέρβερόν τε τὸν κύνα,
Ὁ Ἡρακλῆς τετέλεκε δύο καὶ δέκα ἄθλους.

(Augiæ
Fera rugiens Nemeæ, Aper, Hydra, Ceruaq; inſuper
Purgatio fimi, volucres rapidæ Stymphali, necnō atrox
Tu Taure, Creta quem tulit, Diomedis Ogygiq; Equi;
Et Balteus ſublatus Hippolytæ, & tricorporis Boues
Gerionis, Heſperidumq; mala, Plutoniſq; Cerberus,
Hæc duodecim inclytus peregit Hercules certamina.

Περὶ τοῦ ἐν Νεμέᾳ Λέοντος α´.

Ἐξέμηνε τὸν Διὸς Ἡρακλῆ τὸ τῆς Ἥρας ζηλότυπον. εἰς δὲ

De Leone Nemeo I.

HErculem Iouis Filium Iunonis obtrectatio ad inſa-

Πυθῶνα μολὼν, ὅπως ἀγανήψειε τῆς μελαγχολίας πυνθάνεται. καὶ οἱ χρᾷ τὸ Δαιμόνιον Εὐρυσθεῖ τε λατρεύειν τῷ ἐκ Περσέως ἀνέκαθεν, καὶ τὸ προσταττόμενον ἀπαραιτήτως ἐκτελεῖν. καταλαμβάνει τοίνυν τὴν Τίρυνθα, καὶ δουλαγωγούμενος Εὐρυσθεῖ, τὸν τοῦ Νεμαίου Λέοντος φόνον πρῶτον ἆθλον τελεῖν ἐπιτάττεται. θὴρ δὲ ἐστὶ χαλκῷ μὲν ἄτρωτος, ἐκ Τυφῶνος δὲ τὴν γένεσιν εἰληφώς. μέλλων τοίνυν καταλαμβάνειν τὴν Νεμέαν, εἰς Κλεωνὰς ἔρχεται, καί τινι χερνήτῃ περιτυχὼν θύειν Διῒ μέλλοντι τὴν θυσίαν εἰς ἡμέραν ὑπερθέσθαι τριακοστὴν ἀξιοῖ. κἂν μὲν παλίνοστος ἥκῃ, θύειν Σωτῆρι Διΐ, ἐναγίζειν δὲ ὡς Ἥρωϊ μὴ περιγενομένῳ

ſaniam redegit. Ideo Pythona profectus, modum purgandę bilis atræ ſciſcitatur. Numen oraculo edidit, vt Euryſtheo, è Perſeo oriundo inſeruiat, iuſſaque illius inuiolatè exequatur. Petit ergo Tiryntha, Euryſtheo in ſeruitutem traditus, ille Nemeæi Leonis cædem primum illi certamẽ imponit. Leo bellua erat ære impenetrabilis, Typhone generatus. Antequam Nemeam procederet, Cleonas venit, ibique Operarius, Ioui ſacrificium pręparans obuius ei fit, cui, vt in diem triceſimum ſacrificium deferat, perſuadet, & ſi daretur reditus, Ioui Seruatori libaret i. parentaret veluti Heroi tum, ſi Leonem non ſuperaſſet.

τοῦ Λέοντος. καταλαμβάνει μετὰ Κλεωνὰς Νεμέαν. μαστεύει τὸν θῆρα. τοξεύει τὸ πρῶτον, ὡς δ' ἐκ τῆς πείρας ἔμαθεν ἄτρωτον, διώκει τὸ ῥόπαλον ἐκτεινάμενος. συμφυγόντος δὲ πρὸς ἀμφίστομον σπήλαιον, ἑτέραν ἀπέκλεισεν εἴσοδον. ἐπιὼν δὲ τῷ θηρίῳ διὰ θατέρας, περιθεὶς τῷ λαιμῷ τοὺς δακτύλους συμπιέζει, καὶ ἄγχει. καὶ βαστάσας νεκρὸν ἐπωμάδιον ἄγει πρὸς Κλεωνὰς πρῶτον, εἶτα Διὶ θύσας, αὐτόθεν καταλαμβάνει Μυκήνας, καὶ διὰ θαύματος Εὐρυσθεῖ γίνεται.

ſet. Poſt Cleonas Nemeam appellit, belluam inueſtigat, ſagittaſque primùm arcu expellit. vt verò experientia didicit, eam omnino vulnera eludere, extenſa clava perſequebatur. Cùm in ſpeluncã biforem confugiſſet, ob ſtructo vno oſtio, per alium in feram irrupit, digitorumque vinculis gutture cõpreſſo, præfocat: ſic exanimem in humeris geſtans, primùm Cleonas conducit, vbi Ioui ſacrificium obtulit. Inde Mycenas conuenit, & Euryſtheo in admiratione eſt.

Περὶ τῆς Λερναίας Ὕδρας. β'.

De Lernæa Hydra. 2.

Ἔδεισε δ' αἰδρείας ὑπερβολὴν Εὐρυσθεὺς

EVryſtheus Herculem ob animi, ner-

Ἡρακλῆ, καὶ μηκέτι συγχωρῶν εἰσιέναι Μυκήνας, δεικνύειν πρὸ πυλῶν τοὺς ἄθλους ἐκέλευσεν. δεύτερον δὴ τὴν Λερναίαν Ὕδραν κτείνειν ἀγῶνα προσέταξεν. ἡ δὲ θηρίον ἦν ἀμαιμάκετον, σῶμα μὲν ὑπερμέγεθες, κάρηνον δὲ ἔχον ἐννεακέφαλον. τῷ δὲ τῆς Λέρνης ἕλει τραφὲν, προϊὸν τῷ πεδίῳ, πᾶν ὅτι προστύχοι διέφθειρεν. ἐπιβὰς οὖν ἅρματος Ἡρακλῆς, ἡνίοχον ἔχων Ἰόλαον ἐς τὸ τῆς Λέρνης πεδίον ἀφίκετο. πεπυρωμένοις δὲ βάλλων τοῖς βέλεσιν, εἰς συμπλοκὴν κατηνάγκασεν. ἡ μὲν οὖν θατέρῳ τοῖν ποδοῖν ἐμπλακεῖσα ἐνείχετο, ὁ δὲ τῷ ῥοπάλῳ κόπτων τὰς κεφαλὰς, ἤνυε πλέον οὐδέν.

uorumque robur incredibile expaueſcebat. Hinc eum Mycenarum introitu arcẽs, ad fores certamina commonſtrare iuſſit. Secundò itaq; illi Lernææ Hydræ necem imperat. Hydra ingens, indomitumque animal, vaſto corpore, ceruice vna nouem capitibus aſſurgens; in Lernæ paludibus enutrita, ſuo excurſu omnia ſibi obuia per campos deuaſtabat. Currum itaq; Hercules aſcendens, currum Iolao regẽte, ad campeſtres Lernæ agros proficiſcitur. Eam ignitis ſagittis configens, in cõgreſſum compulit. Illa ergo vno pede cõplicata inhærebat, Hercules abſcidendo capita tempus terebat; vno quippe capite reſecto, gemino

cer-

μιᾶς γὰρ δειροτομουμένης δύο ἐφύοντο. προσεβοήθει δὲ τερατώδης Καρκῖνος, καὶ οὗτος ἆθλος δυσκαταγώνιστος. ἀνθ' ὧν Ἰολάῳ προσχρησάμενος Ἡρακλῆς βοηθῷ, κτείνει μὲν τὸν Καρκῖνον. δαλῷ δὲ τὰς ἀνατολὰς τῶν κεφαλῶν ἀμαυρῶν, ἔστησε τῆς ἐκφύσεως. ἀποκόψας δὲ τὴν ἀθάνατον ἐκ πασῶν κεφαλὴν, κατορύξας πέτρον ἐπέθηκεν. ἀναῤῥήξας δὲ ταύτης τὸ σῶμα, τοὺς οἰστοὺς ἔβαψε, καὶ πρὸς Εὐρυσθέα καλλίνικος ἀναζεύγνυσιν. οὐ μέντοι τοῖς δώδεκα τὸν ἀγῶνα τοῦτον Εὐρυσθεὺς ἔταξεν. σύμμαχος γὰρ Ἡρακλεῖ τηνικαῦτα Ἰόλεως.

ceruix hærede valentior impetebat. Hydræ pręterea Cancer, immane monſtrum, opem ferebat; ideoque labor ille expugnatu difficilis erat. Quare Hercules Iolaum ſocium ſibi certaminis aſciſcẽs, Cancrum trucidat, titioneque capitum germina conſumens, fœcundam, ac renaſcendem ceruicem extinxit; & caput, quod inter alia immortale erat, abciſsũ ſub terra fodit, & ſaxum impoſuit. in corpore diſſecto ſagittas infecit, & ad Euryſtheum victorioſus reuenit. Hunc laborem inter duodecim Euryſtheus non collocauit, quòd Iolai auxilio leuatus, confeciſſet.

Περὶ τῆς Χρυσοκέρω Ἐλάφου. γ'.

Τρίτον ἐπέταξεν ἆθλον τὴν ἐκ Οἰνόης χώρας ἔμπνουν κομίζειν χρυσόκερων Ἔλαφον. οὐ χάριν μήτε βαλεῖν, μήτε μὴν ἀνῃρεῖν ταύτην βουλόμενος Ἡρακλῆς, ὅλον ἐνιαυτὸν συνεδίωκεν. ἐπεὶ δὲ καμὸν τὸ θηρίον κρυσφύγετον ἔγνω τὸ Ἀρτεμίσιον, καταφεύγει μὲν εἰς τὸ ὄρος, ἐκεῖθεν δὲ περαιούμενον Λάδωνα, φθάνει, καὶ συλλαμβάνει. τοῖς ὤμοις δὲ θέμενος διὰ τῆς Ἀρκαδίας ἠπείγετο. συντυχοῦσα δὲ σὺν Ἀπόλλωνι Ἄρτεμις, ὅτι τὴν ἱερὰν αὐτῆς Ἔλαφον εἴληφε, κατεμέμφετο. πραΰνει δὲ τὴν ὀργὴν τῇ Θεῷ τὴν ἐκ Εὐρυσθέως ἀνάγκην

De Cerua, aurea cornua habente. 3.

Tertium certamen iubetur Herculi, vt Oenoë Ceruam, aureis cornibus celebrem, viuam adduceret. Hinc, cùm nollet eam Hercules telis conficere, per annum inſequebatur. Tandem defeſſum animal in Artemiſium montem, quaſi tutum ſibi refugium eſſet, aufugit, indeque dum Ladonem tranſnat, vulnerat, corripitque: quod humeris adaptans, per Arcadiam inſtitutum iter contendebat. Illi cum Apolline Diana obuia facta, quòd ſacrã ſibi Ceruam occidiſſet, querebatur; cuius furorem, neceſſitaté ſibi ab Euryſtheo impoſitam cauſatus, ſedat.

προσφασίζομένος. τοῦ λοιποῦ δὲ Μυκήναζε τὸ θηρίον ἔμπνουν ἐκόμισε, καὶ δὴ καὶ ἐλαίαν ἐξ Ὑπερβορέων εἰς Ἕλληνας ἤγαγεν.

dat. Præterea Mycenas belluam viuam adhuc, & ſpirantem aduexit. Necnon ex Hyperboreis oliuam ad Græcos tranſtulit.

Περὶ τοῦ Ἐρυμανθίου Κάπρου. δ'.

De Erymanthio Capro. 4.

Ἠδίκει τὴν Φωκίδα ὁ Ἐρυμάνθιος. ἀνθ' ὧν Ἡρακλῆς τέταρτον ἆθλον ὑφίσαται. καὶ ζῶντα τοσοῦτον χαυλιόδοντα Συῶ κομίζειν ἐπιταχθεὶς, οὐ καταφρονεῖ τοῦ ἐπιτάγματος. Φολόην οὖν διοδεύων Φόλῳ τῷ Κενταύρῳ ξενίζεται. Φόλος μὲν οὖν ἐπτὰ κρέα παρεῖχε φιλοφρονούμενος, ὁ δὲ τοῖς ὠμοῖς μᾶλλον ἐχαίρετο. οἶνον δὲ ἀπαιτήσαντος, Φόλος μὲν τὸν κοινὸν πίθον Κενταύρων

PHocida Caper Erymanthius infeſtabat. Quare quartum Hercules certamen ſubit: cùm verò, vt viuum animal, brochis, & acutis dẽtibus moleſtum, afferret, in mandatis habuiſſet, non neglexit imperium. Pholoëm itaq; prætergrediens, à Pholo Centauro hoſpitio excipitur. Pholus humanè virũ, ac commodè tractãs, coctas carnes appoſuit: ille crudis magis delectabatur. Cùm vinum expoſceret, Pholus commune Cen-

ἀνοίγειν δεδιέναι διϊσχυρίζετο. θαῤῥεῖν δὲ Ἡρακλῆς ἔφησε. καὶ πείθει, καὶ πέπωκεν. αἰσθόμενοι δὲ διὰ τῆς ὀδμῆς Κένταυροι παρῆσαν ἐλάτας ἀνατεινάμενοι. καὶ κράτος δὲ ξεψάμενος αὐτοὺς Ἡρακλῆς. τοὺς δὲ καὶ διωλέσας τοῖς βέλεσιν, ἐπὶ τὴν τοῦ Κάπρου θήραν ἐγένετο. διώξας δὲ τοῦτον ἔκ τινος λόχμης μετὰ κραυγῆς, χιόνι παρειμένον ἐμβροχίσας εἰς Μυκήνας ἔμπνουν ἐκόμισεν.

taurorũ dolium aperire ſe præ timore nõ poſſe, aſſeuerabat. Animatus ab Hercule aperit, & bibunt. Odore comperta re Centauri inſtant ſtrictis abietibus: illis partim in fugam verſis, partim ſagittis deletis Hercules, ad Apri venationem ſe proripit; quem cùm è ſaltu clamoribus fugaſſet, niue obſitum, reſti colligauit, viuũque Micenas apportauit.

Περὶ τῆς Αὐγείου κόπρου. έ.

De Augiæ fimo. 5.

Ἕως Ἡρακλῆς τοῖς φθάσασιν τῶν ἀγῶσιν ἀνενδεής, καινοτέροις Εὐρυσθεὺς προσεξεύρισκεν. ὁ δὲ ἐλειτούργει τοῖς ἐπιτάγμασι, καὶ Διὸς γεγονὼς ἐπιστοῦτο τοῖς

Hercule perpeſſis laboribus defatigato, Euryſtheus sẽper nouis illum certaminibus opprimere molitur. Semper & ille audiens imperij fuit.

ἔργοις τὴν γένεσιν. τὴν Αὐγείου δὴ τῶν θρεμμάτων ὄνθον μετὰ τοὺς διηνυσμένους ἄθλους ἡμέρᾳ μιᾷ καθαίρειν προστάττεται. Βασιλεὺς Ἤλιδος ὁ Αὐγείας, παῖς Ἡλίου τὸ μυθευόμενον, τὸ δ' ἱστορούμενον Φόρβαντος. συχνὰ τούτῳ βοσκήματα, χώρῳ δ' ἐνὶ μακροῖς ἔτεσι σηκαζόμενα, κόπρον ἀμύθητον ἐπεσώρευσαν. Αὐγείᾳ τοίνυν προσιὼν Ἡρακλῆς, μὴ δηλώσας τὴν Εὐρυσθέως ἐπιταγὴν, εἰ παράσχοι τὴν δεκάτην τούτῳ τῶν βοσκημάτων, ἡμέρᾳ μιᾷ τοῦ κόπρου τὸν φορυτὸν ἐκφορήσειν ὑπέσχετο. καταινεῖ μὴ πιστεύων ὁ Αὐγείας. Φυλλέα δὲ τὸν Αὐγείου μαρτυράμενος Ἡρακλῆς διαιρεῖ

fuit, Ioueque ſatus facinoribus natales ſuos comprobabat. Itaq; Augiæ armentorum fimum, poſt abſoluta certamina, vno die, ſic Euryſtheo iubente, expurgare accingitur. Elidis rex erat Augias: Filius, vt in fabulis eſt, Solis: vt verò hiſtoriç narrant, Phorbantis. Armenta illi innumera, quæ in vno per plures annos ſtabulata, fimi copiam, quæ vix verbis exprimi poteſt, congeſſerant. Conuenit itaque Augiam Hercules, & Euryſthei imperio diſſimulato, ſi ſibi pecorum decimã partem concederet, vno die, fimi immanem illum congeſtum euerrere pollicetur. Rei difficultatem æſtimans Augias, promittit. Phylleum Augiæ filium te-

τῆς αὐλῆς τὸ θεμέλιον, καὶ παροχετεύσας τὸν Ἀλφειὸν, ἅμα τῷ Πηνειῷ σύνεγγυς ῥέοντας τὴν ὄνθον ἐκάθηρεν, ἐκρεῖν δι' ἄλλης ἐξόδου κατεργασάμενος. ὡς δὲ μάθοι κατ' ἐπιταγὴν Εὐρυσθέως διηνύσθαι τὸν ἆθλον, ὁ Αὐγείας τὸν μισθόν τε οὐ παρεῖχε, καὶ ὑποσχῆσθαι ἐξήρνητο. ἔτι τε καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἦν, ὡς δὲ καθεζομένων τῶν δικαστῶν, ὡς ὑπεσχημένου τοῦ πατρὸς κατεμαρτύρησεν ὁ Φυλλεὺς, ὀργισθεὶς ὁ Αὐγείας πρὶν ἐνεχθῆναι τὴν ψῆφον, τόν θ' Ἡρακλέα, καὶ αὐτὸν Φυλλέα βαδίζειν ἐκέλευσεν ἐκ τῆς Ἤλιδος. Φυλλεὺς μὲν οὖν εἰς Δουλίχιον ᾔει, πρὸς Ὤλενον δ' Ἡρακλῆς προσδε-

teſtem conſtituens, ſubdiuiſis ſtabuli fundamentis, & Alphæo, Penæoque proximis loco fluminibus corriuatis, immiſſiſque, faucibus ex alia parte aquis adapertis, fimum abegit. Cùm verò iuſſu Euryſthei laborem hunc ſuſceptum fuiſſe Augias comperiſſet, mercedem inficiatus eſt, quam ſe nunquam promiſiſſe aſſerebat; adeo vt iudicium de eo non recuſaret. Vbi verò apud coronam Iudicum Phylleus in Patrem tamquam eũ, qui ſpoponderat, teſtimonium dixiſſet, ira percitus Augias, antequam ſententia diceretur, Herculem, Phylleumque vt ſolũ verterent, Elideque exirent, mandat: Quare Phylleus Dulichium abit; ad Olenum verò Hercu-

ξεάμενον ἵκετο. καὶ Μνησιμάχην τὴν Ὠλένου ῥυσάμενος Εὐρυτίωνος ἥκεν εἰς Εὐρυσθέα. παρ' ὅσον δὲ μισθὸν ἀπήτει τῆς ἐκφορήσεως οὐδὲ τὸν ἀγῶνα τοῦτον Εὐρυσθεὺς τοῖς δώδεκα προσεδέξατο.

Hercules,qui eũ excepit, & Mneſymache Oleni filia ab Eurytione liberata, ad Euryſtheum redit. Quòd verò laboris huiuſce mercedem exegiſſet, certamen hoc Euryſteus è numero duodecim expunxit.

Περὶ τῶν Στυμφαλίδων ὀρνίθων. ς'.

Τ Ὰς Στυμφαλίδας σοβεῖν ὄρνιθας Ἡρακλεῖ ἕκτος ἆθλος ἐκέλευτο. λίμνη παρὰ τοῖς Ἀρκάσιν ἡ Στυμφαλὶς, ὕλη δὲ μυρίᾳ συνηρεφὴς, καὶ κρησφύγετον ὄρνισιν ἦν. οὐδεμιᾶς οὖν μηχανῆς τῇ θήρᾳ τούτων εὑρημένης παρ' οὐδενὸς, Ἡρακλῆς διώκειν τὰς ὄρνιθας ἠναγκάζετο. συνήρετο τούτῳ τῆς θήρας

De Stymphalidibus Auibus. 6.

STymphalidas Aues abigere ſextus labor Herculi fuit. Stymphalis apud Arcadas lacus, arboribus vndique, alijſque innumeris obſitus, refugium Auibus erat. Cùm verò nemo ad illa tempora, modum vt caperentur, excogitaſſet, ad eas expellendas Herculi onus imponebatur. Venationis comes adfuit Pallas, quæ æreis crepita-

Παλλάς. ἡ Ἡφαιςότευκτα δὲ παρασχοῦσα χάλκεα κρόταλα λύει τὴν ἀμηχανίαν αὐτοῦ. κροτῶν γὰρ τοὺς κώδωνας Ἡρακλῆς ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου φόβον ἐποίει ταῖς ὄρνισιν, καὶ τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ δέους ἀφίπτανται, καὶ τῇδε βέλεσι τῶν ὀρνίθων περιεγένετο.

pitaculis, à Vulcano factis, impertitis, anxium Herculis animũ, & facti neſcium ſolatur. Illis enim crepitaculis è monte lacui imminente perſtrepẽs, Auibus timorẽ incuſſit; quæ, cùm ſtrepitũ ferre non poſſent, metu trepidantes auolarunt. Et hac ratione Aues fugauit.

Περὶ τοῦ Μίνωος Ταύρου. ζ'.

Μίνως ὁ Κρῆς, ὁ Διὸς ἔκγονος, ὁ Ῥαδαμάνθιος ὅμαιμος, τὸ φανὲν ἐν θαλάσσῃ Ποσειδῶνι θύειν ὑπέσχετο. καὶ δὴ καὶ ἀνῆκε κυανοχαίτης θέαμα κάλλους, Ταῦρον αἰπύκερων. ἀλλὰ τοῦ κάλλους ὁ Μίνως κατελεήσας τὸν Ταῦρον τοῦτον

De Tauro Minois. 7.

Minos Cretenſis, Ioue generatus, Rhadamanthi frater, quod ſibi ex mari apparuiſſet, Neptuno in ſacrificium ſpondet: cæruleis Neptunus crinibus Taurũ prælongis cornibus, forma egregium immiſit. Commotus pulchritudine Minos, & Taurum miſeratus,

μὲν ἀφῆκεν εἰς τὰ βουκόλια. θύει δὲ ταῦρον ἀνθέτερον. ἐφ' οἷς ὀργισθεὶς ὁ Ποσειδῶν τὸν ταῦρον ἠγρίωσε, καὶ παντί τῳ τὸ ζῶον ἀπρόσιτον ἦν. πέμπεται τοίνυν Ἡρακλῆς ἐπὶ τὴν τούτου κατάσχεσιν. Μίνως δὲ λαμβάνειν ἠξίου τὸν διαγωνισόμενον. τοιγάρτοι, καὶ διαγωνισάμενος, καὶ νικήσας εἷλε τὸν ταῦρον, καὶ πρὸς τὸν πέμψαντα διεκόμισεν. ὁ δὲ ἄνετον εἴασε, καὶ πλανηθεὶς διαβὰς τὸν Ἰσθμὸν εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἵκετο, τὰ γειτονεύοντα λυμαινόμενος.

inter armenta dimittens, pro illo alium in ſacrificio mactat. Iratus ideo Neptunus, Taurũ efferauit adeò, vt nulli acceſſus ad eum concederetur. Mittitur ergo Hercules ad coërcendum. Minos refrænanti cõcedebat. Compreſſit itaque Hercules, ſubactumq; ſuſtulit, & ad eum, qui miſerat, aduexit. Ille liberum dimiſit, qui multis erroribus Iſthmũ prætergreſſus, Marathonem Atticæ, finitimis omnibus vaſtatis, proficiſcitur.

Περὶ τῶν Διομήδους ἵππων. η'.

Ἀρχαιότερος τοῦ Τυδείδου Διομήδης ἦρχε Θρακῶν. τούτῳ δὲ καὶ τὸ ὑπήκοον μὲν θη-

De equis Diomedis. 8.

Tydide antiquior Diomedes, Thracum imperio potitus, ſubditos immanſue-

ρίων ἀτιθασσότερον. Βίστονες γὰρ ὁ ὑπὸ χεῖρα λαὸς Θρακῶν, ἔθνος αἱμοχαρὲς, καὶ ἀμείλικτον. Ἵπποι δ' ἦσαν ζυγὸν μὲν καθάπαξ ἀπηρνημέναι. τοὺς δ' οὐκ ἐθάδας δὲ δι' ὠμότητα φθείρουσαι. ταύτας κομίζειν πρὸς Μυκήνας ἀνάγκη βαρεῖα τὸν Ἡρακλέα κατηνάγκασε. πλεύσας εἰς Θρᾴκην οὖν, τοὺς μὲν ἐπὶ ταῖς φάτναις τῶν ἵππων βιάζεται, κατάγει δὲ τὰς ἵππους εἰς θάλασσαν, ἐναντιουμένων δὲ τῶν Θρακῶν, ταύτας μὲν Ἀβδήρῳ τῷ ἐρωμένῳ φυλάττειν πιστεύει. πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος, Διομήδην μὲν ἀπέκτεινε, τοὺς δὲ λοιποὺς φεύγειν ἠνάγκασεν. Ἀβδήρῳ δὲ διασπασθέντι ταῖς ἵπποις περὶ τὸν τάφον κτίσας τὴν Ἄβδηραν, ἣ ἀπήτητο κε-

ſuetiores feris habebat. Biſtones quippe, qui ſub eo erant, gens eſt inter Thracas ſanguinolenta, & inexorabilis. Huius Equę indomitę, ſemper iugi onus vitarũt; &, quos ipſæ non nouerant, feritate nimia perdebant. Eas vt Mycenas adduceret, Herculem dura compellebat neceſſitas. Quare in Thraciam adnauigãs, illis, qui præſepibus præerant, vim infert, & Equas in mare cõducit. Cùm ſe Thraces opponerent, eas Abderi, à ſe dilecti fidei, cuſtodiæque cõmittit; & cum Biſtonibus conflictãs, Diomedem occidit, reliquos fugauit. Mox penes Abderi, ab Equis diſcerpti, tumulum Abdera condita, impoſi-

κόμικεν Εὐρυσθεῖ. μεθέντος δὲ ταύτας τοῦ Εὐρυσθέως εἰς Ὄλυμπον ἀπελθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

poſitum ſibi munus Euryſtheo defert. Dimiſſæ ab Euryſtheo, atq; in Olympũ progreſſæ, à belluis dilaniatæ finẽ vitę fecere.

Περὶ τοῦ Ἱππολύτης ζωστῆρος. θʹ.

Ὁ τῆς Ἱππολύτης ζωστὴρ δῶρον ἦν Ἄρεος. ὁ ζωστὴρ τὸ πρωτεύειν τεκμήριον Ἀδμήτῃ τῇ Εὐρυσθέως δριμὺν ἐνέθηκεν ἔρωτα. τῶν Ἀμαζόνων Ἱππολύτη βασίλεια. περίπου τὸν Θερμώδοντα ποταμὸν ἔθνος αἱ Ἀμαζόνες, Ἄρει μὲν κάτοχον, ἀνδρῶν δὲ, καίπερ οὖσαι γυναῖκες, διαφερόντως εἰς μάχην ἐπικρατέστερον. διὰ δὲ τὴν εἰς ὅπλα ῥοπὴν τὸν δεξιὸν ἀποθλίβουσαι, τὴν κλῆσιν ἐκ τοῦ συμβεβη-

De Bàlteo Hippolytes. 9.

MArs Hippolytæ balteum munus dedit. Balteus prærogatiuæ ſignum Admetæ Euryſthei filiæ acre ſui deſideriũ incuſſit. Erat Amazonum Regina Hippolyta. Iuxta Thermodontem fluuium Amazones conſedunt, gens Marte animata, & viribus ipſis, licet mulieres ſint, mirum in modum ad confliđandum, dimicandũque robuſtior : vt faciliùs armą pertractet dextram abſcidit mammam . hinc illis Ama-

κότος ἐσχήκασιν. ἐπὶ
τοίνυν τὴν Ἱππολύτην,
καὶ τὸ μάχιμον Ἀμαζό-
νων στρατὸν διὰ τὸν Ἀδ-
μήτης ὑπὲρ ζωστῆρος ἔ-
ρων σφοδρὸν ὁ Ἡρακλῆς
ἀποστέλλεται. παραγενο-
μένης δὲ πρὸς αὐτὸν
Ἱππολύτης, καὶ πυθο-
μένης, οὗ χάριν ἥκοι, καὶ
δώσειν ὑποσχομένης, Ἥ-
ρα τῇ Ἀμαζόνων εἰκα-
σθεῖσα μιᾷ, τὰς Ἀμα-
ζόνας καθ' Ἡρακλέους
παρώξυνε. καὶ προσστᾶ-
σαι μεθ' ὅπλων τὸν ἥρωα
πρὸς μάχην ἠρέθιζον
ἑαυτόν. μνησθεὶς οὖν ὁ Ἡ-
ρακλῆς τῆς ἐνούσης αὐτῷ
ῥώμης, κτείνει μὲν Ἱπ-
πολύτην, καὶ τὸν ζωστῆρα
λαμβάνει. πρὸς δὲ τὴν
Ἀμαζόνων στρατὸν δια-
γωνισάμενος φυγεῖν πα-
ρεσκεύασε. πάρεργα δὲ
τοῦ ἀγῶνος τὴν θ' Ἡ-
σιόνην τοῦ Κήτους ἐρύσα-
το, καὶ τοὺς Πρωτέως ἀ-
πέκτεινεν.

Amazonum nomen. Ad Hippolytem ergo & bellicoſum Amazonum exercitum, propter Admetæ baltei poſſidendi deſiderium Hercules mittitur. Cùm ad eum acceſſiſſet Hippolyta, aduentuſque cauſam expoſceret, promiſiſſetque ſe exhibiturã; Iuno ſub vnius Amazonis forma, Amazonas in Herculẽ concitat, quæ armis Heroëm adortæ, ad pugnam euocabant. Cùm priſci roboris memoria vires Hercules reſumpſiſſet, Hippolyta cæſa, balteo potitur; & reliquum Amazonum exercitum illa pugna fugauit. Extra certamẽ Heſionem quoq; à Ceto liberauit, & Protei filios occidit.

Περὶ τῶν Βοῶν Γηρυόνου. ι.

Τέρας ἦν ἐν Γαδείροις ὁ Γηρυόνης, Καλλιρρόης μὲν τῆς Ὠκεανοῦ, καὶ Χρυσάορος παῖς· σῶμα δὲ συνηγμένον εἰς ἓν συμφυὲς ἔχων τρικέφαλον. τούτῳ φοινικαὶ Βόες ἐτύγχανον βοσκόμεναι κατὰ τὴν Ἐρύθειαν, ἣ νῦν ὀνομάζεται Γάδειρα. τούτων δὲ βουκόλος μὲν Εὐρυτίων, Ὄρθος δὲ φύλαξ, κύων ἐξ Ἐχίδνης δικέφαλος. πεμφθεὶς οὖν ὁ Ἡρακλῆς ἐπὶ ζήτησιν τῶν Βοῶν, ἐπειδὰν πρὸς τὰ τῆς γῆς ἀφίκετο τέρματα, στήλας ἱστᾷ τῆς ὁδοιπορίας τεκμήρια. μεσημβρίας δὲ οὔσης ἡλίῳ θερόμενος, βέλος ἀφίησι κατὰ τοῦ Θεοῦ. καὶ ὃς θαυμάσας τὴν ἀνδρείαν τοῦ Ἥρωος, δέπας ἔδωκε χρύσεον, ᾧ διαπεραιωθεὶς τὸν Ὠ-

De Geryonis Iuuencis. 10.

Monſtrū erat apud Gaditanos Geryones, Callirrhoë Oceani filia, & Chryſaore genitus; corpore vnico triceps. Huius Phœniceæ Boues Erythææ, quę nūc Gadira dicitur, paſcebantur. Eorum paſtor Eurytion, cuſtos Orthus canis biceps, Echidna generatus. Miſſus itaque Hercules ad perquirendos Boues, cùm fines terrarum acceſſiſſet, columnas ſui itineri indices erigit. Meridie Sole incaleſcens, in Deum conijcit telū. Ille, Herois robore delectatus, poculo aureo donat, quo vectus per Oceanum Erythææ Boues compre-

κοινὸν καταλαμβάνει
τὰς Βοῦς εἰς Ἐρύθειαν.
ὁ δὲ κύων Ὄρθος αἰσθό-
μενος ἐπ᾽ αὐτὸν ὥρμη-
σεν· ἀλλὰ κτείνει τὸν
κύνα σὺν Εὐρυτίωνι.
μανθάνει δὲ Γηρυόνης
τὸ γεγονὸς, καὶ μάχην
Ἡρακλεῖ συστησάμενος
ἡττᾶται, καὶ κτείνεται· καὶ
δὴ τὰς Βόας εἰς τὸ δέ-
πας ἐνθέμενος Ἡρα-
κλῆς, καὶ διαπλεύσας εἰς
Ταρτησσὸν, Ἡλίῳ πά-
λιν τὸ δῶρον ἀπένει-
μεν. πολλοῖς δὲ μετα-
ξὺ προσομιλήσας δει-
νοῖς Εὐρυσθεῖ τὰς Βόας
ἐκόμισεν.

Περὶ τῶν Μήλων τῶν Ἑσπε-ρίδων. ια΄.

Χρύσεα Μῆλα παρ᾽
Ἑσπερίδων ἄγειν τὸν
Ἡρακλῆν ἑνδέκατος ἀ-
γὼν ἐκεῖτο· τὰ δ᾽ ἦν ἐν
Ὑπερβορέοις, καὶ πρὸς
τῷ Ἄτλαντι. Δι-

prehendit. Orthus
canis cùm perſenſiſ-
ſet, in eum impetum
fecit; ſed occiditur
vnà cum Eurytione
ab Hercule. Factum
cùm reſciuiſſet Ge-
ryones, cum Hercule
bellum iniens, debel-
latur, & cæditur. Sic
Bobus in poculo po-
ſitis, cùm Tarteſſum
adnauigaſſet, Hercu-
les Soli munus reſti-
tuit. Multa intereà
in itinere perpeſſus
aſpera ad Euryſtheũ
Boues aſportauit.

De Pomis Heſperi-dum. XI.

Labor vndecimus
Herculem vrge-
bat, vt aurea Mala ab
Heſperidis adueheret,
quæ, apud Hyperbo-
reos circa Atlantem,
ſpon-

δέ ποτε δῶρον Ἥρα γή-
μαντι δέδωκεν. ἦν δὲ
ἆθλος οὐκ εὐκατέργαστος.
Δράκων τε γὰρ ἀθάνατος
πολυκάρηνος φύλαξ αὐ-
τοῖς, καὶ Ἑσπερίδες αὐ-
ταί. παντοδαποῖς οὖν
ἀπαισίοις περιπεσὼν συ-
ναντήμασι, καὶ δὴ κα-
ταλαβὼν καὶ τὸν Καύκα-
σον, τοξεύσας τὸν ἀε-
τὸν, ὃς τὸ Προμηθέως
ἧπαρ κατήσθιε, καὶ Προ-
μηθέα τοῦ δεσμοῦ λύσας,
ἧκεν εἰς Ἄτλαντα. τρία
δὲ Μῆλα παρ' Ἑσπε-
ρίδων Ἄτλας δρεψά-
μενος Ἡρακλεῖ δίδω-
σιν. ἐπεὶ δὲ τὸ χρῆμα
κεκόμικεν Εὐρυσθεῖ, δε-
ξάμενος Εὐρυσθεὺς, δω-
ρεῖται τῷ τὰ μῆλα πορ-
σύναντι. παρ' οὗ λα-
βοῦσα Παλλὰς πάλιν
ἀπήγαγε. μετατεθῆναι
γάρ που ταῦτα οὐκ ἦν
ὅσιον.

ſponſo Ioui à Iuno-
ne munera erant. La-
bor difficilis extrica-
tu: Draco ſiquidē im-
mortalis multiceps i-
& Heſperides ipſæ ea
cuſtodiebant. Innu-
meris itaque infortu-
nijs diuexatus ad Cau-
caſum peruenit, vbi
Aquilam, Promethei
iecur deuorantem ſa-
gittis confodit, &,
Prometheo vinculis
ademptis, in Atlan-
tem montem appu-
lit; qui tria ab Heſpe-
ridibus Poma decer-
pens, Herculi offert.
Vbi ad Euryſtheum
allata ſunt, Euryſteus
exhibenti largitur; à
quo cùm habuiſſet,
Pallas, rurſus Heſpe-
ridibus reſtituit. Haud
enim fas erat ea alio
in loco conſeruari.

Κέρβερον ἐξ Ἅιδου κομίζειν δωδέκατον ἆθλον Ἡρακλῆς ἐπετέτακτο. τῷ δὲ Κυνὶ τρεῖς μὲν κεφαλαὶ, τὸ οὐραῖον δὲ Δράκοντος, κατὰ δὲ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάς. μέλλων τοίνυν εἰς Ἅιδου πορεύεσθαι παραγίνεται πρὸς τὴν Ἐλευσῖνα, καὶ μυηθεὶς ὑπ' Εὐμόλπου διὰ τοῦ Ταινάρου πρὸς τὸν Ἀϊδωνέα κατῄει. ὁπηνίκα δὲ εἶδον αὐτὸν αἱ ψυχαὶ δίχα Μελεάγρου, καὶ Μεδούσης τῆς θνητῆς, τῆς ἐκ Γοργόνων, δειλιῶσι, καὶ φεύγουσιν. Ἡρακλῆς οὖν ἐπὶ τὴν Γοργόνα σπᾷ τὸ ξίφος, καὶ παρ' Ἑρμοῦ μανθάνει, ὅτι κενὸν ἐστὶν εἴδωλον. αἰτοῦντος δὲ Πλούτωνα Κέρβερον, ὁ Πλούτων ἄγειν ἐπέτα-

De Cerbero. 12.

EX Inferis Cerberum educere, duodecimus Herculi labor datus. Cani tergeminum caput, cauda Draconis, & anguineis terga capitibus obuallata. Ergo ad inferos proceſſurus, Eleuſinem venit: vbi ab Eumolpo initiatus, per Tænarum ad Plutonem deſcendit. Cùm eum conſpexiſſent animæ, præter Meleagri, Meduſæque mortalis, ex Gorgonibus vnius, timore concitæ fugiũt. Hercules in Gorgona ſtringit gladium; diſcit tamem à Mercurio, præter merum ſpectrum, nihil aliud eſſe. A Plutone Cerberum eflagitat; Pluto, vt educat, concedit, dummodò arma,

qui-

ξειν, δίχα τῶν ὅπλων ὧν εἶχε κρατήσαντα τοῦ Κυνός. Εὑρὼν οὖν αὐτὸν πρὸς Ἀχέροντα συμπεφραγμένος τῷ θώρακι, καὶ περιβαλὼν χεῖρας τῇ κεφαλῇ, καίπερ δακνόμενος οὐκ ἀνῆκεν, ἀλλ' ἄγχων τὸ θηρίον, διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν, ἤγαγεν Εὐρυσθεῖ, καὶ δείξας πάλιν εἰς Ἅιδου κεκόμικεν.

quibus decertans Cane potiretur, deſereret. Canem ad Acherontem offendit, ac lorica tectus, manus in caput iniecit; & licet ab eo morderetur, non tamen deſtitit; ſed, faucibus belluæ præcluſis, per Trœzenem aſcendẽs ad Euryſteum pertraxit; tum commonſtratum rurſus ad inferos reduxit.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ

ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

LIBANII SOPHISTÆ

PROLVDIA RHETORICA

Nondum edita.

Leone Allatio Interprete.

ΧΡΕΙΑ.

Θεόφραστος ἐρωτηθείς; Τί ἐστὶν Ἔρως; ἔφησε, Πάθος ψυχῆς σχολαζούσης. α΄.

Ἐμοὶ δοκεῖ καὶ Θεόφραστον ἐπαινεῖν, ὃς ἐπὶ φιλοσοφίᾳ λαμπρὰν ἐκτήσατο δόξαν, ζηλωτὴς Ἀριστοτέλους τοῦ διδασκάλου γενόμενος, καὶ τοὺς ἐκείνου πόνους, καὶ τὰς ἐκείνου διδασκαλίας δείξας τοῖς ἑαυτοῦ συγγράμμασιν. ὧ καὶ τοὔνομα διὰ τὴν περὶ

CHRIA.

Theophraſtus interrogatus, Quid eſt Amor? Reſpondit, Otio abutentis animi perturbatio. 1.

Theophraſtum quoque laudibus efferendum eſſe cenſeo, qui in rebus Philoſophicis opimã ſibi gloriam peperit, Magiſtri ſui Ariſtotelis æmulus, illiuſque labores, atque doctrinam proprij ingenij monumentis demonſtrans;

τὸ λέγειν ὑπῆρξεν ἀρετὴν, τῶν τὸν ἐκείνου λόγον τεθαυμακότων, προσηγορίαν θεμένων αὐτῷ τὸν Θεόφραστον· τοῦτον ἤρετό τις προσελθὼν, ἀξιώσας παρ' αὐτοῦ μανθάνειν, τί ποτε ἄρα χρὴ νομίζειν τὸν Ἔρωτα, καὶ περὶ τί φύεται τῶν ὄντων· ὁ δὲ πρὸς αὐτὸν ἔφη· Τὴν ἀφειμένην τῶν φροντίδων ψυχὴν, ταύτην τοῖς ἐρωτικοῖς κατέχεσθαι πάθεσι· καὶ ταύταις ἐνοχλεῖν τὸν Ἔρωτα ἐγνώμεν, ὁπόσας ἐστὶν εὑρεῖν τῶν ἄλλων πραγμάτων κεχωρισμένας. Εὖγε τοῦ λόγου Θεόφραστε· καλῶς ἐμοὶ κατανενοηκέναι δοκεῖς τοῦ πάθους τὰς ἀφορμάς. μαρτύριον δὲ τῶν εἰρημένων ἐναργὲς τὸ τοὺς ὀρθῶς ἔχοντας

ſtrans; qui nomen à diuina vi, & facultate dicendi habuit: ab ijs, qui eius orationem admirati ſunt, Theophraſti appellatione indita. Hunc aliquādo neſcio quis accedens percontatur, ab eo inſtrui cupiens, quid Amorem eſſe, exiſtimandum, & quibuſnam is in rebus innaſcatur. Ille reſpondit, Animum à curis ſolutum amatorijs eſſe perturbationibus obnoxium, eosq; potiſſimùm ab amore infeſtari ſcitum, quotquot ab alijs rebus ſeparatos, ac ſeiunctos inuenimus. Euge pol mi Theophraſte, quàm diſertus es! quàm probè, in perturbationis cauſas mea ſententia collimaſti! dictis tuis teſtimonium præbent ſatis amplum, dum orationi tuæ aſſenſum

λογισμοὺς, τούτῳ τῷ λόγῳ συμβαίνειν. ὅτι δὲ ταῦτα τῶν μετεχόντων ἀληθείας ἐστὶ, τὸ παρὰ τοῦ Θεοφράστου ῥηθὲν γνῶναι ῥᾴδιον. θῶμεν γὰρ οὑτωσὶ, καὶ λογιζώμεθα ψυχὴν εἶναί τινα, μήτε παιδείας ὀρεγομένην, δι' ἧς ἢ ῥητορεύειν ἐστὶν, ἢ φιλοσοφεῖν. μή τ' αὖ μετιοῦσαν τὴν τῶν χειρῶν ἐργασίαν, οἷον χαλκευτικὴν, ἢ τεκτονικὴν, ἢ τὸ ναυπηγεῖσθαι ναῦς, ἢ τὴν τῶν οἰκοδομούντων, ἢ τὴν ὑφαντικὴν, ἢ τινὰ τοιαύτην ἑτέραν, ἧς τὸ ἔργον ἐν ταῖς χερσὶν. εἰ τοίνυν τοιαύτην εὑρίσκοιμεν φύσιν ἀργίᾳ χαίρουσαν, ὄκνοις ἡδομένην, ἀτεχνίᾳ ζῶσαν, ἆρα τὴν τοιαύτην οὐκ ἂν ἀποφαινοίμεθα

præſtant, qui cogitationibus rectis firmãtur. Effatum porrò Theophraſti ex ijs eſſe, quæ quàm proximè vero accedunt, in promptu eſt dignoſcere. Sit enim ita, intellectuque noſtro pendamus, animum quendam eſſe, qui neque diſciplinas, per quas aut orationem oratoriam effingere, aut rebus immorari Philoſophicis licet, appetit; neque manuũ opificio ſe exercet; æraria nempe arte, aut fabrili, aut qua naues compinguntur aut ædes exædificantur, aut telæ texuntur, vel alia ſimili, cuius operatio in manibus eſt: ſi talem compererimus naturam, nimis ſibi præ deſidia indulgentem, & ſe otio oblectantem, nullaque arte ſpectabilem, an non eam vel ſimilibus affectio-

τῶν αὐτῶν σπουδασμάτων, ἢ τινὰ χείρω νοσεῖν; ἐπεὶ καὶ τὸν ἀντὶ τοῦ γεωργεῖν οἴκοι καθήμενον, καὶ καταῤῥαθυμοῦντα τῆς γῆς, καὶ τὸν ἀντὶ τοῦ πλεῖν, ἐν τῇ γῇ μένοντα μάτην, οὐ προεπισδίκαμεν τῇ διανοίᾳ παρέχειν σχολὴν; ὥστε τῶν ἀτόπων ἐρᾶν; καὶ γὰρ οὕτως ἔχει· καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν. ὁ περὶ μηδενὸς τῶν ἀναγκαίων πεφροντικὼς, μὴ δέγε τῇ ψυχῇ μεριμνήσας, μὴ δὲ ἐπί τινων ἐπιτηδευμάτων ἑλκόμενος, ἐπεὶ ἀντὶ τοῦ τῶν βελτιόνων ἐρᾶν, ἃ τῆς ἀργίας ἐστὶν, ὑπομένει, τῆς τοῦ σώματος ἐπιθυμίαις ἡττώμενος· καὶ ταύτῃ δουλεύων, καὶ ταύτην αἱρούμενος, οὐκ ἐπιτιθεὶς τοῖς

ctionibus, vel peioribus laborare, ac confici contendemus? quando nonnè eum, qui pro colenda terra, domi ſedet, negligenter terram agentem, & eum, qui pro nauigandi ratione habenda, in terra fruſtra cunctatur, ab induſtria ad ſocordiam mentem auocare putamus; illique otium dare; vt turpia procuret? Ita planè comparatum eſt, & res natura ſua ita ſe habet. Qui diſſolutus eſt in re familiari, ac perditus, qui animo nulla in meditatione pedẽ figit, neque ad ſtudia, quæcunque illa ſint, ducitur, hic, loco meliora appetendi, quæ ſocordiæ ſunt, ſuſtinet; à deſiderijs corporis debellatur, quibus ipſe deſeruit, quæ exoſculatur, amores frænis non coërcens, ſtu-

ἔρωσι χαλινὸν, τὴν ἐν τοῖς ἔργοις σχολήν. καὶ εἰκότως. ὁ γὰρ μήτε δικάζων, μήτε νομοθετῶν, μήτε δημηγορῶν, μήτε ψηφίσματα γράφων, μήτε συνηγορῶν, μήτε πρεσβεύων, μήτε στρατηγῶν, μήτε πολεμῶν, μήτε περὶ τὴν γῆν πονῶν, μὴ περὶ τὸ πλεῖν ἀσχολούμενος, μὴ λόγων ἐρῶν, ὅλως δὲ μηδὲν τῶν ἐν ἀνθρώποις μετιὼν, ἐξ ὧν ἔστιν, ἢ πόλιν ὠφελεῖν, ἢ τὸν αὐτοῦ βίον οἰκονομεῖν, οὗτός τινος οὐκ ἂν ἐρασθείη τῶν πονηρῶν ἐπιθυμιῶν, αἷς τὸ σῶμα διδοὺς, ἥκιστα τῇ ψυχῇ σωφρονεῖ. καὶ τοὺς τοιούτους ἂν εὕροις μεθύοντας, κωμάζοντας, γά-

ſtudijs nempe, quæ circa opera verſantur. Et meritò; qui enim neque iuſtitiam adminiſtrat, neque leges fert, neque conciones habet, neque ſenatus conſulta conſcribit, neq; reis operam dat adiutabilem, neque legationem obit, neq; ducit exercitum, neq; pugnam init, neque circa terram laborat, neque in nauigatione tempus inſumit, neque ſermones ſectatur, denique nihil ex rebus ijs humanis exercet, ex quibus facultas fit aut adiuuandæ Ciuitatis, aut propriæ vitę rationis dirigendæ; hic à quibuſnam prauis deſiderijs abſtinebit, quibus corpus mancipans, animo ſanè neutiquam ſapit? Eiuſmodi hominum genus facili negotio deprehendes, vino madidos, petulanter ſe gerentes, nuptiarum inſi-

μοις ἐπιβουλεύοντας, κόρας ἁρπάζοντας, διαπατῶντας τὴν σωφροσύνην, ἁπλῶς εἰπεῖν, μόνον ἐρᾶν, ἀντὶ τοῦ σπουδάζειν εἰδότας. κατενοήσαμεν τὴν ψυχὴν ἀπὸ σπουδαίων σχολάζουσαν. ἴδωμεν δὲ καὶ τὴν ἑτέραν ἢ τοὐναντίον διακειμένην φιλοπόνῳ τῇ φύσει κέχρηται. γνῶναι δὲ ῥᾴδιον οὑτωσί. πονείτω τις ἐν λόγοις, καὶ τούτων μόνον ἐράτω· ὁ τοιοῦτος οὐκ ἂν εἰς ἑτέρους ἔρωτας ὀλισθαίνῃ, τῷ βελτίονι κατεχόμενος. ἄλλος ἐργαζέσθω τὴν γῆν, ἕτερος πλείτω τὴν θάλατταν, ὁ μὲν χαλκευέτω, τῷ δὲ μελέτω τεκτονικῆς, ἑτέρῳ δὲ στρατηγεῖν, τῷ δὲ πρεσβεύειν, καὶ τῷ μὲν νομοθετεῖν, τῷ δὲ

inſidiatores, puellarum raptores, vitiatores caſtimoniæ; &, vt verbo extricem, tantùm amoribus indulgere ſuis, haud rebus grauibus intendere, ſcientes, ac gnaros. Animum à ſerijs otiantem iam expreſſimus, videamus, & alium, qui contrario modo comparata natura, ea ad labores promptiſſima vtitur: quòd ita faciliùs dijudicabis. Ad conſcribendas orationes conatum ſuum referat quis, quas tãtummodo depereat; hic ad nullos alios amores prolabetur, cùm teneatur à meliore. Alius terræ colendæ laborem ſuſcipiat, alius mare prænauiget, alius ferrariam tractet, curæ alteri ſit fabrilis, alteri copias diſponere, alteri legationem facere; &

huic

ψηφίσματα γράφειν, καὶ τῷ μὲν πολεμεῖν, τῷ δὲ διατιθέναι τὰς πανηγύρεις. τίς οὖν ἅψαιτό ποτε τῶν οὕτως ἐχόντων ἄτοπος ἔρως; οὐκ ἔστι. τοῦ γὰρ τὴν ψυχὴν ἀνθέλκοντος ὄντος, πᾶσα ἀνάγκη καὶ τὸ σῶμα τοῖς σπουδαῖς ὑπουργεῖν, καὶ τοὺς τοιούτους καλοῦμέν τε, καὶ νομίζομεν σώφρονας, οἷς ἐπιβέβληται τῇ ψυχῇ χαλινός, ὃ μικρῷ πρόσθεν ἔφην, τὰ μάταια τῆς ψυχῆς κατείργων κινήματα. καὶ ποιῶν αὐτὴν ἐν τῷ φιλοπονεῖν μὴ τοῖς σώμασιν ἥκειν ἀργοῦσιν, μὴ δέγε πρὸς τὴν ἐπιθυμίαν ἐξίστασθαι, μὴ δὲ τῇ τοιαύτῃ δουλεύειν φύσει. ἀλλ' εἶναι πάντων ἀμείνονα τῶν πεφυκότων ἐπὶ τὰ τοιαῦτα καθέλ-

huic quidẽ leges ſancire, alteri ſenatus conſulta componere, alteri pugnam inire, alteri ſolemnitatibus moderari. Quanam itaque ratione hos ita ſe habentes amor abſurdus vrgebit? prorſus nulla. Nam cùm ſit, quòd corpus in alteram partem diſtrahat, neceſſe eſt omninò corpus etiã ipſum ſtudioſis conatibus deſeruire: & hos nos ipſi & nuncupamus ſapientes, & caſtos reputamus, quorum animi compeſcuntur frænis, quæ, vt ſupra dixi, inanes motus impediunt, in ſectando labore, id peragentia, vt non deſidibus corporibus obediant, neque ad libidines dementententur, nec ſimili inſeruiant naturæ, ſed ſint rebus omnibus potio-

κεῖν. ἂν ἄγοις ἵππον ἄνευ πόνων, καὶ τοῦτον ἀφεὶς παραδιδόναι τοῖς πωλοδάμναις, ἄγων τῇ φάτνῃ προσδήσῃς τρυφᾷν γε μόνον, οὐκέτι δὲ καὶ πρὸς δρόμον ἐξάγων, ἆρα οὐκ ἂν ἴδοις αὐτὸν ἐπιτρέποντα τῇ ῥύμῃ τῆς φύσεως, καὶ κεχρῆσθαι τῷ κεκτημένῳ γενόμενον ἀνεπιτήδειον; τὸν δέ γε προσομιλοῦντα τοῖς πόνοις, καὶ συνόντα τοῖς δρόμοις, καὶ μὴ κατεχόμενον ὄκνοις, ἆρ' οὐκ ἤδη καὶ τὴν ἐνοῦσαν εὑρήσομεν ἀποβαλόντα θρασύτητα, καὶ πάθεσι τὸν ἐπιστάτην ἄγειν εὐκόλως ἐπιστάμενον; ταῦτα δὴ συμβαίνειν οἴου καὶ περὶ τοὺς ἀνθρώπους. αἱ φύσεις ἐν τῷ πονεῖν σωφρονοῦσιν, ἐν τῷ ῥαθυ-

tiores, quæ eos ad illa diſtrahere nata sũt. Si equum abſque labore conducis, & hũc equorum domatoribus non tradens, ducens ad præſepe alligabis, vt lautè, & affluenter viuat, neque vltra ad curſum eductum prouocas; an non ipſum conſpicies naturæ ſe impetu dedentem, tibique domino prorſus factum ineptum? illum verò laborãtem aſſiduè, & curſibus inſudantem, neque deſidia diſſolutum, annon & innatam ſibi audaciam exuiſſe cõperiemus; ſibique facilè ſuadentem, tamquam qui id optimè calleat, aſſeſſorem abſque diſcrimine vehere? Hæc item & in hominibus locum habere exiſtima. Naturæ dum laboribus fatigantur, pudori conſulunt; dum otio abu-

μᾶν ἀκολασταίνουσιν, καὶ τὸ κατέχον οὐκ ἔστι τὸν οὐκ ἐθέλοντα κατέχεσθαι τοῖς πόνοις. ὁ Δημοσθένης πόνων ἐπιθυμῶν, καὶ τοὺς ἀτόπους ἔφυγεν ἔρωτας. τῶν Ἡρώων ὁ Διομήδης σωφρονέστατος ἦν, ὅτι καὶ πονεῖν ἐπιτήδειος. τῶν φιλοσόφων ὁ Πυθαγόρας, στρατηγῶν ὁ Θεμιστοκλῆς, ὁ μὲν ἔργον ἔχων τὸ φιλοσοφεῖν, καὶ τοῖς Θεοῖς ὁμιλεῖν. οἱ δ' ὁτιοῦν ἐχρῶντο καλῶς, καὶ βουλῇ, καὶ χειρὶ τὴν ἐνεγκοῦσαν ἐκσώζοντες. ἐπεὶ πότ' ἂν ἔρως εἰσῆλθε Θεμιστοκλέα τοιοῦτος κατὰ Μήδων παραταττόμενον, καὶ περὶ τῆς πρὸς ἐκείνους βουλευόμενον μάχης, περὶ τῶν λογίων ἐνθυμούμενον, καὶ τὸ ξύλινον διερευνῶντα τεῖχος,

abutuntur, pudicitiam perdunt; nec eſt quòd contineat eum, qui contineri laboribus nolit. Demoſthenes laborum cupiens, ſalaces euitabat amores: inter Heroas Diomedes maximè caſtimoniam corporis ſeruauit, quòd labori addictiſſimus eſſet: inter Philoſophos Pythagoras; inter copiarũ ductores Themiſtocles; ille quidem Philoſophiæ, & Deorum colloquijs intentus; iſte omnibus probè vtebatur, & conſilio, & manu ſeruans Patriam. Quanam verò ratione Amor ſimilis Themiſtoclem aduerſus Medos exercitum deducentem, & de pugna cum eis ineunda conſulentem, ſæpè oracula animo obuerſantem, & ligneum murum, Naues nempe,

τὰς ναῦς· ὁπότε τὸν Περικλέα τὸν πάνυ, τὸν Ὀλύμπιον, διὰ τὴν προσηγορίαν ἐφύτευσαν οἱ πόνοι· καὶ μὴν ἐμοὶ δοκεῖ καὶ τὸν Ἀριστείδην δικαιοσύνης ἐπιθυμεῖν, καὶ περὶ τοῦτον ἐσπουδακέναι τὸν βίον, ἁπάσης ἀμείνω πεποιηκέναι χείρονος ἐπιθυμίας, καὶ δυνατώτερον. εἰ δέ μοι λέγεις Καλλίαν τὸν δημόσιον, ἢ Πιττακὸν, ἢ Μίμους, γελοιῶν τε Ποιητὰς ἐπονειδίστων ᾀσμάτων, ὅτι τοιούτοις ἐδούλευον ἔρωσιν, οὐκ ἂν θαυμάζοιμι πρὸς τὴν ἐν τῷ βίῳ ῥαθυμίαν ὁρῶν, καὶ ὡς οὐδὲν ἦν τῶν ἀξίων ἐπαίνου πράττοντας ἐκείνους ἰδεῖν, καὶ τῇ διανοίᾳ παρεχόντων σχολήν. Ταῦτα καὶ Ποιητὰς οὐκ ὀλίγους,

pe, inuenientem inuadere poſſet? Quando Periclem magnũ illum, Olympium, cui nomen à laboribus fuit? Inſuper, vt mihi videtur, Ariſtides iuſtitiæ deſiderio, hãc ſuis conatibus vitam amplexus eſt, qua deteriore quolibet appetitu potior, fortiorque euaſit. Si verò mihi Calliam plebeium, aut Pittacum, aut Mimos, iocularium que, atque ignominioſarum cantionum Scriptores, qui ſimilibus ſubdebantur amoribus, opponas; ſanè nulla ciebor admiratione, ſi in eorundem vitæ mollitiem mentem fixero. quos nihil laude dignum operatos aſpexeris, cùm ſegnitia, atque ignauia animum peruerterint. Hæc eadem & ex Poëtis quàmplurimi, &

καὶ φιλοσόφων, καὶ τῶν ἐπὶ ῥητορικῇ μέγα δεδυνημένων, εἰ καὶ μὴ μνημονεύειν ἔχω τῶν ὀνομάτων, ἐπῄνεσαν, ἐθαύμασαν, ἐν τῷ λέγειν ἐπαίδευσαν. Εἴτις οὖν ἐπιθυμεῖ κακὴν ἐπιθυμίαν ἐκφεύγειν, ἐράτω τῶν βελτιόνων, ἵνα μὴ τῶν χειρόνων, καὶ σχολαζέτω τοῖς κρείττοσιν, ἵνα μὴ τοῖς βλάπτουσι, ταῦτα δὲ ἂν εἴη καθάπερ ἔδειξα τοῖς λογισμοῖς οἱ πονηροὶ τῶν σωμάτων ἔρωτες.

ex Philoſophis; ex ijs quoque, qui in oratoria arte maximè excelluerunt, licet eorum nomina in prōptu non habeã, extulerunt, admirati ſunt, & inter dicendum, alios edocuerunt. Quiſquis itaque improba cupit vota effugere, meliorum, vt ne peiorum, amore capiatur; potioribuſque, vt noxijs ne incùmbat; hæc verò erunt, vt oratione mea demonſtraui, praui corporum amores.

ΓΝΩΜΗ ΠΡΟΤΡΕΠΤΙΚΗ.

Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. β'.

HORTATIVA SENTENTIA.

Pecunijs opus eſt, neque ſine ijs quidquam, quod facto opus eſt, perfici poteſt. 2.

Ἔστι μὲν τὸ χρησιμώτατον πάντων τῶν

Vitæ humanæ rationibus maximè om-

ἐν τῷ βίῳ, ῥητορική· τῶν δ᾽ αὖ ῥητόρων τὸ κεφάλαιον Δημοσθένης, ὃς παρῆλθε μὲν τὸν Ἰσοκράτην, ἀπέκρυψε δὲ τὸν αὐτοῦ διδάσκαλον Ἰσαῖον· κρείττων δὲ φανεὶς καὶ τῶν καθ᾽ ἑαυτὸν, καὶ τῶν ἔμπροσθεν, οὐδὲ τοῖς ἐσομένοις ἅμιλλαν ἔδωκεν. ὧν δὲ λέγειν ἄριστος, πολὺ βελτίων ἦν τὴν προαίρεσιν. ὃς κατὰ μὲν τῆς πατρίδος οὐκ ἐπεδέξατο χρυσίον, ὑπὲρ δὲ τῆς ἐνεγκούσης διετέλεσε πονῶν· καὶ τοσοῦτον ἀπέσχε τοῦ γενέσθαι πονηρὸς, ὥστε καὶ τοὺς ἄλλους ἀπηνάγκαζεν εἶναι χρηστούς. τῶν μὲν οὖν πολιτευμάτων, οἷς ὤρθου τὰς Ἀθήνας, ἐν ἑτέροις καιροῖς μνημονεύσομεν· νῦν

omniũ conducit Ars Oratoria. Oratorum verò ſumma, ac caput eſt Demoſthenes, qui ſuperauit Iſocratem; Præceptorem ſuum Iſæum propria gloriæ fama obſcurauit; & tum ſui æqualium, tum eorum, qui præceſſerant, primas occupans, nullã poſtmodum futuris hominibus cum eo contentionem reliquit. At quæ ipſe optimè enũciabat, multo meliùs deligebat. Ille aduerſus Patriam auro venales manus nõ dedit; pro cuius incolumitate continuò elaborabat: tantùmq; abfuit vt ipſe improbus fieret, vt alios etiam probos eſſe compelleret. Rerum porrò præclarè in Republica geſtarum, quibus incolumes Athenas ſeruauit, alio in loco memoriam, atque imaginem repræſen ta-

 bi-

δέ μοι τὴν γνώμην ἐκεί-
νην ἐπῆλθε θαυμάσαι,
δι' ἣν οὐ μόνον τοὺς ἐκ-
κλησιάζοντας τότε
ὤνησεν, ἀλλὰ καὶ πάντας
ἁπλῶς, οἷς ὁμιλῆσαι τοῖς
ἐκείνου συγγράμμασιν ὑ-
πῆρχεν. ἀποφαίνεται γὰρ
τὸ, δεῖν χρημάτων, ὡς
οὐκ ἐνὸν ἄλλως, ἢ μετ'
ἐκείνων τὰ δέοντα πρα-
χθῆναι. καὶ τὰ μὲν ἐκεί-
νου ταῦτα. μαρτυρεῖ δὲ
τῷ λόγῳ τὰ πράγματα.
πρῶτον μὲν, ἵν' ἀπὸ τοῦ
μεγίστου ποιήσομαι τὴν
ἀρχὴν, τὰ ταῖς πόλεσιν
ἀναγκαιότατα δι' ἐκεί-
νων γίνεται, τὰ τείχη,
τὰ ὅπλα, νῆες, νεὼς, οἶ-
κοι, λουτρῶν χάριτες,
ἱερῶν κάλλη, χαρακώ-
ματα, τάφροι. καὶ μὴν
τὴν μὲν θεῶν εὔνοιαν
αἱ θυσίαι πορίζονται,

bimus. Sed nunc
eam mihi ſententiam
admirari venit in mé-
tem, qua non tantùm
in concione cõgrega-
tis, ſed reliquis pror-
ſus omnibus, quibus
illius commentarios
libros percurrendi fa-
cultas data eſt, vſui,
emulumentoque fuit.
Decernit ſiquidem il-
lud, Pecunijs opus eſ-
ſe; nec poſſe aliter
perfici, niſi earum mi-
niſterio, quæ facto
opus ſunt. Et hæc
quidem ſunt illius: res
verò ipſæ orationi te-
ſtimonium dant. Pri-
mùm nanque, vt à
maximo exordiũ du-
cam, res Vrbibus ma-
ximè neceſſariæ per
illas fiunt, mœnia,
arma, naues, ædes,
balineorum deliciæ, templorum ornatus,
aggeres, valla. Deorumque etiam bene-
uolentiam ſacrificia conciliant, at ſplen-

λαμπρῶς δὲ θύειν τοῖς εὐπορῦσιν ὑπάρχει. ταῦτα τοίνυν, καὶ περὶ τῶν ἀναθημάτων ἐστὶν εἰπεῖν. στρατεία δὲ πῶς ἂν ἐκπεμφθείη συμμάχοις κινδυνεύουσιν ἄνευ σιτηρεσίας. σιτηρέσιον δὲ πῶς ἂν γένοιτο χρημάτων χωρὶς. οὐ τοίνυν τὰ μὲν τῶν πολεμίων οὕτω, τὰ δὲ καθέκαστον ἑτέρως. ἀλλὰ κἀνταῦθα τὸ ἴσον ἄγεσθαι κρατεῖ. σκεψώμεθα γάρ. δεῖ μὲν οἰκίαν οἰκοδομεῖσθαι, δεῖ δὲ γύναιον ἄγεσθαι, δεῖ δὲ τοὺς γινομένους παῖδας τρέφειν. τούτων δὲ ἕκαστον ἐκ δαπάνης ὁρμᾶται. εἰ τῶν ἀρρωστούντων ἀφέλοις τὰ χρήματα, ταχὺ τεθνήξονται. εἰ τῶν σοφίας ἐπιθυμούντων, οὐδέποτε κτήσονται. δεῖ μὲν γὰρ βιβλία ὠνεῖσθαι. δεῖ δὲ τοὺς μα-

didè ſacrificandi diuitijs affluentibus facultas eſt. Hæc etiam de Offerumentis aſſerenda ſunt. Quanam verò ratione auxiliarijs in periculum adductis exercitus ſine frumentatione educi, frumentatio autem ſine pecunijs poterit ſuppeditari? Neque hoſtium tantùm ita comparantur, & ſingulorum res aliter, ſed hæ quoq; æquè commenſurantur. & rem perpendamus. Domus ædificanda eſt, ducenda eſt vxor, filij iam nati alēdi ſunt, at his infiniti ſumptus impendent. Si ægrotos pecunijs defraudaueris, ſubitò mörientur: ſi ſapientiam aucupantes, nunquā eſſequentur: pro libris enim poſſidendis ſumptus faciendi, & di-

θήσεις παρὰ τῶν ἐπισταμένων ὠνεῖσθαι. ἁπλῶς δὲ τῶν τε τὰς ψυχὰς ὠφελούντων, καὶ τῶν τὰ σώματα φυλαττόντων οὐδὲν, ὃ μὴ τὴν ἀφορμὴν ἐκεῖθεν λαμβάνει, ἐπεὶ καὶ πρὸς αὐτὴν τὴν ἐσθῆτα δεῖ χρημάτων, ὧν χωρὶς οὐκ ἔστιν αὐτῇ χρήσασθαι. τίς δ' ἂν ἀποδημία συμφέρουσα γένοιτο, μὴ τούτων ὑπόντων; τίς δ' ἂν χρήσιμος πρὸς τὴν ἐνεγκοῦσαν φανείη, μὴ χορηγῶν, μὴ λειτουργῶν, μὴ τριηραρχῶν, μὴ πρῶτος ἐν ταῖς ἐπιδόσεσιν ἐνδεικνύμενος; οὐκ ἂν τυραννὶς ἐπὶ πλεῖον ἀρκέσειε πενίᾳ συνεζευγμένη· οὐκ ἂν βασιλεία ταύτης ὑπούσης. καὶ δημοκρατίαν ἴσμεν χρημάτων ἀπορίᾳ ταχέως κινουμένην. μετὰ τούτων δεῖ καὶ τοὺς ἐπιτη-

ſciplinæ ab ijs, qui ea callent, coëmendæ ſunt: &, vt verbo dicam, quæcunque animis proſunt, & corpora muniunt, nihil eſt eorum, quod non inde ortum ducat; cùm ad ipſas quoque veſtes pecunijs opus ſit, quibus ſi careas, veſtibus non vteris. Quænam porrò peregrinatio in rem erit, ſi pecuniȩ non adfuerint? quis patriæ adiuuandæ accommodus erit, non choragum agens, non miniſtrās, non triremium præfecturam ſubiens, nō primum ſe in ſuppeditationibus iactans? Pauperie inuoluta Tyrannis, Regnū etiam ipſum inopia obſitū, citò cadent. Scimus & Democratiam penuria pecuniarum continuò interturbari.

δέους ὠφελεῖν, καὶ τῶν
δυσμενῶν κρατεῖν. πρό-
χειρον γὰρ τοὺς εὐπόρους,
ξενικῶν προσθήκῃ τὰς
δυνάμεις αὐξῆσαι. εἰ
τοίνυν οἷς περιουσία χρη-
μάτων, τούτοις ἅπαντα
χωρεῖ κατὰ νοῦν, ἀνάγκη
μηδὲν πληροῦσθαι τῶν δεόν-
των, ἔνθα τούτων ἡ σπά-
νις. οὔτε ἄνευ ὅπλων ἐστὶ
ποιεῖσθαι πόλεμον, οὔτ'
ἄνευ σκάφους περαιοῦσθαι τὴν
θάλατταν, οὐ βαδίζειν
χωρὶς ποδῶν, οὔτ' ἄνευ
χρημάτων τοῦ δέοντος τυ-
χεῖν. ὥσπερ γὰρ ὀφθαλ-
μῶν ἐστερημένον οὐκ ἔστιν
ὁρᾷν, οὕτως τὸν ἐν ἐνδείᾳ
καθεστῶτα χρημάτων, ἃ
προσήκεν, οὐκ ἔστι ποιεῖν.
ἀπόβλεψον δὴ εἰς τὴν
Ἀθηναίων πόλιν, καὶ
μᾶλλον ἐκ τοῦ παρα-

His poſſumus & amicos ſubleuare, & debellare aduerſarios; ad manum nanque eſt, bonis affluentibus, accerſitis exterorum copijs, exercitus augere. Itaque ſi quibus ſuperſunt pecuniæ, ijs omnia pro ſententia eueniunt; neceſſe eſt, nihil ex ijs, quibus facto opus eſt, abſolui, vbi eſt eorum inopia: fieri nequit, vt pugna abſque armis ineatur; neq; abſque naui mare præternauigetur; nec ſine pedibus greſſus dirigatur; nec abſque pecunijs conſequamur, quod opus eſt. Quemadmodum enim oculis ſpoliatus non quit aſpicere, ita nec qui à pecunia non perbenè valet, quæ opus eſt, conficere. Conijce oculos in Athenienſium Vrbem, magiſque ab exemplo, dicti in ad-

δείγματος θαυμάσῃ τὸν λόγον. ἐκεῖνοι μὲν γὰρ ἕως ἐθάῤῥουν, μυρίοις ταλάντοις ἐν Ἀκροπόλει κειμένοις, ἡγοῦντο μὲν τῶν Ἑλλήνων, ἐκράτουν δὲ τῶν Λακεδαιμονίων, ἦσαν δὲ φοβερώτεροι τῷ Περσῶν βασιλεῖ. ἐπεὶ δὲ περιιὼν ὁ χρόνος ἐξανάλωσε τὰς περιουσίας, ὑπέκυψαν μὲν τοῖς ἐχθροῖς, τυράννους δὲ παρεδέξαντο, κατέσκαψαν δὲ τὰ τείχη τῶν δυσμενῶν κελευόντων. ἐπ' αὐτῶν τοίνυν τῶν καιρῶν, ἐν οἷς ἐπολιτεύετο Δημοσθένης, οὐδὲν οὕτως ἐλυμήνατο τοῖς πράγμασιν, ὡς τὸ τῆς ἀπορίας. οὐδὲ ἄλλο τι Φίλιππον ηὔξησεν, ἢ τὸ πλουτεῖν. καὶ τοσοῦτον ἴσχυσε τῷ κεκτῆσθαι χρυ-

mirationem venies: Athenienſes enim, dum decem millibus Talentorum, in Arce reconditorum, fidebant, Græcis imperabant, debellabant Lacedæmonios, Perſarum etiã Regi magis ac magis timorem incutiebant: cùm verò ſubſecutis temporibus facultates illæ ad inopiam redactæ ſunt, hoſtibus colla ſubmiſerunt, admiſerunt Tyrannos, aduerſarijs ita iubentibus, vrbis mœnia diſiecerunt. Ipſis quoque temporibus, quibus munia Reipublicę adminiſtrabat Demoſthenes, rebus nihil egeſtate, atque inopia nocentius, ac pernicioſius fuit. Nec aliud quidpiam, quàm pecuniarum affluentia Philippum auxit, qui tantùm valuit, quòd auro potiretur, vt eorum, qui eo validiùs, bel-

σίον, ὥστε τὴν ἄμεινον ἠσκημένων πολεμεῖν τὰς πόλεις ἐπρίατο, τοὺς παρ' ἑκάστης προστάτας ὠνούμενος. οὐ τοίνυν Δημοσθένης μὲν οὕτως, ἄλλως δὲ Πίνδαρος. οὐδ' οὗτοι μὲν πάντα συνᾴδουσιν, Θουκυδίδης δὲ τοὐναντίον φθέγγεται. ἀλλὰ καὶ Ῥήτορας, καὶ Συγγραφέας καὶ Ποιητὰς ταυτὸν εὑρήσεις λέγοντας, Δεῖ χρημάτων τοῖς μὴ μέλλουσιν ἁμαρτήσεσθαι τοῦ δέοντος. ὥστ' εἴπερ καὶ ὑμῖν ἔρως τοῦ κατορθοῦν, ἐπιμελητέον πόρων.

bellum gerere exerciti erant, Vrbes commercatus fuerit, ſingularum emptis primatibus. Non itaque Demoſthenes tantùm ſic locutus eſt, aliter verò Pindarus; neque ijdem per omnia cōueniunt, Thucydides autem oppoſitū profert; ſed & Oratores omnes, & Scriptores, atque Poëtas id idem confirmātes comperies. Pecunijs opus eſt ijs, qui ab eo, quod addecet, aberraturi non ſunt. Quapropter, ſi quid rem aliquam præclarè perficere in animo eſt, viæ pecuniarum omnes quærendæ ſunt.

ΑΝΑΣΚΕΥΗ.

Ὅτι οὐκ εἰκότα τὰ περὶ τὸν Αἴαντα τὸν Λοκρόν. γ'.

Ἕτερος λόγος περὶ ψευδὴς ὑπὸ τῶν Ποιη-

REFVTATIO.

Non eſſe veroſimilia, quæ de Aiace Locro dicuntur. 3.

FAlſus etiam hic rumor in ſermone

τὴν περὶ τῶν ἑλόντων τὸ Ἴλιον Ἑλλήνων εἰρημένος. Βιάσασθαι μὲν τὸν Αἴαντα τὴν Πριάμου Κασσάνδραν πρὸς τῷ τῆς Ἀθηνᾶς ἕδει προσκειμένην τε, καὶ δεομένην, μὴ τοῦτο παθεῖν. λόγον δὲ οὐδένα τοῦ τετολμημένου ποιήσασθαι τοὺς Ἕλληνας, πρὶν Κάλχας εἶπεν, ὡς ὠργίζετο ἡ Θεός. τότε δὲ ἐπὶ τὴν δίκην ἐλθεῖν μὲν, λαβεῖν δὲ οὐ δυνηθῆναι, προκαταφυγόντος τοῦ τὰ δεινὰ εἰργασμένου, πρὸς βωμούς τινας Θεῶν. ἐπὶ τούτοις ἐκκλησία περὶ τῆς ἀναγωγῆς. καὶ Μενέλαος μὲν ἐπείγεται, καὶ κελεύει πλεῖν εὐθέως. Ἀγαμέμνων δὲ παρῄνει προδιαλλάξαντας αὐτοῖς τὴν Θεόν. εἶθ' οὕτω πλεῖν. στάσεως δὲ γενομένης ;

atq; ore omnium eſſe cæpit, à Poëtis de Græcis, qui Ilium exciderunt, vulgatus; Aiacem nempe Priami filiæ Caſſandrę, ante Mineruæ ſtatuam procumbenti, diutiniſque precibus, ne id pateretur, efflagitanti; vitium obtuliſſe: Græcos audax facinus penitus neglexiſſe; antequam Calchas palam feciſſet, Deam iratam eſſe: & vocatum quidem in iudicium, ſiſti verò iudicio non potuiſſe, cùm ipſe qui facinus patrarat, ad aras Deorum, neſcio quas, confugiſſet: & de accuſatione coacta comitia. Menelaus interim vrget, ſeque mari haud cunctabundos, dedere iubet. Agamemnon, antequam ſe accingerent ad nauigationem, Deam exoratam propitiam red-

τῶν μὲν ἄλλων τινὲς ἦλθόν τε οἴκαδε, καὶ ἀπεσώθησαν, ὧν καὶ Νέστωρ ἦν. Μενέλαος δὲ χειμάζεται, καὶ πλὴν πέντε νεῶν, ἁπάσας ἀποβαλὼν, εἰς Αἴγυπτον ὑπὸ τῶν ἀνέμων ἐλαυνόμενος κατηνέχθη. πρῶτον μὲν οὖν ἐκεῖνο θαυμάζοι τις αὖ, εἰ Αἴας ὁ τῶν Λοκρῶν ἡγεμὼν, καὶ τοσαύτας ἄγων ναῦς, καὶ πόλεων τοσούτων ἡγούμενος, καὶ τιμώμενος ἐν τοῖς Ἕλλησιν, ἐπ' ἀρετῇ, καὶ τῷ μηδενὸς ἡττᾶσθαι τῶν αἰσχρῶν, οὕτως ἐξεπλάγη παρθένον ἰδὼν, ὥστε εὐθὺς μαίνεσθαι, καὶ πᾶν δίκαιόν τε καὶ πλέον ἐκβάλλειν ἐκ τῆς ψυχῆς. καὶ μηδὲν ἐννοεῖν ὧν εἰκὸς, μὴ τοὺς ἀρχό-

reddere. turbæ factæ ſunt. hinc ex illis nonnulli inter quos & Neſtor, domum remearunt, & ſeruati ſunt. Menelaus tempeſtate iactatur, & præter quinque naues incolumes, reliquis amiſſis, vi ventorum compulſus, Ægyptum appellit. Illud itaq; primùm ante omnia admirari ſubit, quanam ratione Aiax, Locrorum Dux, tot naues cõducens, & tot Vrbium Imperator, inter Græcos maximo in honore habitus, quòd virtutibus præcelleret, nullique rei obſcænę, improbæque cedens primo virginis aſpectu obſtupuit adeò, vt illico in inſaniam verſus, iuſtitiam omnem, totumque, quod diuinum eſt, ex animo eiecerit ſuo, nihilque eorum, quibus facto opus erat, mente agitarit.

μένους, μὴ τοὺς ἄλλους
Ἕλληνας, μὴ τοὺς τού-
των ἄρχοντας, μὴ φί-
λους, μὴ δυσμενεῖς, εἴ-
τινες ἄρα ἦσαν αὐτῷ.
τὸ μέγιστον, μὴ τῶν νεών,
μὴ τοὺς βωμούς, μὴ τὴν
Ἀθηνᾶν αὐτήν. εἰ γὰρ καὶ
σφόδρα ἤρα τῆς κόρης.
καίτοι τοῦτό γε οὐκ ἔ-
χον λόγον ἐστίν, ἰδόντα
εὐθὺς ἐρασθῆναι. χρόνου
γὰρ οἶμαι τάγε τοιαῦτα
δεῖται πλείονος, καὶ συνε-
χοῦς ὄψεως, καὶ μακροτέ-
ρας ὁμιλίας. ἀλλ' εἰ δεῖ
τοῦτο δοῦναι, καὶ ἐγχωρῆ-
σαι, τὴν πρώτην ὄψιν οὕ-
τως ἀφόρητον ἐπιθυμίαν
τεκεῖν, τί λαθὼν ἐν ὀφ-
θαλμοῖς ἐμίγνυτο τῆς Θεοῦ,
καὶ οὐκ ἀποσπάσας ἐπὶ
τὴν σκηνὴν ἄγων ἔπρατ-
τεν, ὅ, τι ἐβούλετο. δια-

tarit, neque ad ſubditos attenderit, neque ad alios Græcos, neq; ad eorum principes, neque ad amicos, neque ad hoſtes, ſi quos ipſe habebat: &, quod omnium maximum, eſt, neque ad ſacra, neque ad aras, neque ad Palladem ipſam; quantumuis Virginis amore nimio vrgeretur. Et tamen à ratione alienum eſt, ſubitò viſę puellę in amorem incidere. Tempore nanque, eoque diuturniore, mea ſententia, ſimilia indigent, & frequenti aſpectu, & commercio longiore. Sed ſi id dandum eſt, & concedendum primum intuitum intolerabilem adeò cupiditatem peperiſſe, quanam ipſe dementia ductus ante oculos Deæ vſuram illius ſibi cepit, & non auulſam in tentorium conducens,

illi

νὸν γὰρ καὶ τοῦτο τὴν ἀδικοῦσαν μὲν οὐδὲν, ἀδικουμένην δὲ τὰ μέγιστα μὴ δὲ τῆς παρὰ τῶν Θεῶν ἐπικουρίας ἀπολαύειν, ἀλλ᾽ ἐκ μέσων ἁρπάζειν τῶν ἱερῶν. εἶχε δ᾽ ἂν ἐλάττω τὴν ἀσέβειαν. οὐ γὰρ ἴσον οἶμαι παραμίγνυσθαι τῆς Ἀθηνᾶς ὁρώσης, τό τε λαβεῖν παρὰ τὴν κόρην οἴχεσθαι. ἐνέσκαζεν ὁ Ἔρως, ἀλλ᾽ ἡ Θεὸς ἐφόβει. πολλῶν δὲ ἐπιθυμοῦντες ἄνθρωποι πολλάκις ἀπέχονται, καὶ κρείττονας δείσαντες, καὶ νόμους, καὶ τὸν ἐπὶ τοῖς ἔργοις λόγον. ἔδει δὲ τὸν Ἕλληνα, καὶ φρόνιμον, καὶ ἡγεμόνα, καὶ ἐρῶντα. θήσω γάρ. τὴν μὲν αὐτῇ σκηνῇ κρύψαι,

illi dedit operam, vt libuerat? graue ſiquidem & hoc eſt, eam, quæ nulli iniuriam intulerat, imò quàm improbiſſimè iniuria affectam, haud quaquã illius, quod à Dijs promanat, auxilij participem fieri, ſed è medijs ſacris rapi, euellique. Sic enim minùs rẽ impiè egiſſet: neq; enim æqualia sũt, Pallade inſpectante pudicitiam alicui pellere, & puellæ raptorem pedem referre. Vrgebat amor, ſed Dea perterrefaciebat. Cùm verò homines multorum in deſiderium veniunt, ſæpiſſimè ab ijs, & potiorum, & legum, & circumſpectionis, quæ in operibus haberi debet, metu abſterriti, abſtinent. Decebat autem & Græcum, & prudentem, & ducem, & amantem, vt id quoque ponam, Virginem in tentorio ipſo

recon-

πρὸς δὲ τοὺς Ἕλληνας ἐν τῷ καιρῷ τῶν τιμῶν, ὁμολογῆσαι τὸ πάθος, ὁμολογήσαντα δὲ, καὶ τὴν κόρην ἔχειν ἠξιοῦντο, πάντως ἂν ἔδοσαν οἱ τὸν ἄνδρα εἰδότες, μεμνημένοι μὲν τῶν πόνων, οὓς παρὰ πάντα τὸν πόλεμον ἠνέσχεν. αἰδούμενοι δὲ τὴν σωφροσύνην τοῦ κατασχόντος αὐτὸν, καὶ οὕτω μὲν εἶχεν ἂν διὰ τέλους τὴν ἐρωμένην. ὡς δὲ νῦν ἔπραξεν ἀπεστέρηται. δόξας γὰρ ἀδικῶν, καὶ τῆς παρρησίας αὐτὸν, οἷς ἔδρασεν, ἐκβάλλων, οὐκέτ' εἶχε λέγειν, οἷς ποτ' ἂν ἐχρῆτο. εἶεν. ἀλλ' ἠσέβηκε μὲν ἅμα, ἠσεβεῖτο δὲ ἡ Θεός. ἔλαθε δὲ τοῦτο οὐδένα τῶν Ἑλλήνων. τί οὖν ἔδει ποιεῖν τοὺς

recondere, & Græcis, cùm præmia diſtribuerentur animi perturbationẽ fateri, quam ſi ille faſſus eſſet, & virginem ſibi popoſciſſet, omnino, qui Virum probè nouerant, dediſſent, laborum memoriam, quos per integrum pugnæ tempus ſuſtinuerat, recolentes, & illius, qui eum oppreſſerat, reueriti cõtinentiam; adeoque tandem delitijs potitus eſſet. Vt verò nũc rem pertractauit, ſpoliatur. Nam iniuſtè agere deprehenſus, & libertate ſemetipſum per ſceleſtiſſimũ facinus exuens nullos, qui ad vſum ſibi eſſe poterant, ſermones conſerere poterat. Eſto. Sed læſit ille quidem pietatem, contumelia verò ad Deam referebatur; hocque nullum latuit Græco-

καθημένους, ἀγανακτεῖν, βοᾷν, εἰς δικαστήριον ἄγειν, ἀπαιτεῖν τιμωρίαν, δεικνύειν ὀργὴν ἐπὶ τοῖς πεπραγμένοις. νῦν δὲ τοιοῦτον μὲν οὐδέν. ἡσυχία δὲ πολλή. μᾶλλον δὲ ἡ Θεὸς μὲν ἐν οὐδενὶ λόγῳ. πολλὴ δὲ ἡ πρὸς τὸν πλοῦν ὁρμή. καὶ ὁ μάντις ἐδίδασκεν, ὡς οὔπω καιρός. δεῖν γὰρ καὶ πρότερον θεραπεῦσαι τὴν Θεόν. τί γένοιτο αὖ τῶν Ἑλλήνων ἀνοητότερον; Κάλχαντος ἐδέοντο πρὸς τὸ μαθεῖν, ὡς Θεὸς ὑβριζόμενος ὠργίζετο. καὶ ὡς ὀργὴ Δαιμόνων μεγάλη ζημία; οὐ γὰρ καὶ γυναικὶ, καὶ παιδὶ τοῦτο γε δῆλον; οὐ γὰρ καὶ τοῖς οἰκέταις, καὶ τοῖς δορυφόροις τῶν Ἑλλήνων; οὐ γὰρ καὶ τοῖς ἀναισθήτοις, εἴ

corum. Quid igitur aſſidentes debebant agere? conqueri, cõclamare, in ius vocare, pœnas, & tormenta expoſcere, de rebus geſtis ſeſe iratos eſſe oſtendere? Et tamẽ nil ſimile factum eſt, ſed alta quies: immo Dea inſulsè deſpicitur, ingensq; ad nauigãdum impetus; & vates promulgabat, nondum tempus adeſſe: priùs etenim Dea placanda erat. Quid Græcis ipſis imprudentiùs fuerit, quòd à Calchante diſcere auebant, Numen, ſi iniuria afficiatur, iracundia concitari, iraque Dæmonum maxima incommoda gigni? Annon id & mulieri, & puero manifeſtum eſt? annon & ſeruis, & Grecorum ſatellitibus? annon & attonitis, nul-

loque

δοκοῦσι βαρβάροις. ἀλλ' ὁ τὴν ἀρχὴν ἔχων διὰ σύνεσιν Ἀγαμέμνων, καὶ ὁ ῥήτωρ Ὀδυσσεὺς, καὶ ὁ τῷ πολλῷ χρόνῳ εἰς ἄκρον ἥκων σοφίας ὁ Πύλιος. προσθείην δ' ἂν καὶ τὸν Τυδέως, ὃς ἐν πολλαῖς ἐκκλησίαις ἐπεδέδεικτο τὴν ἑαυτοῦ φρόνησιν. αὐτοῦ πάντες ἐκάθηντο, μένοντες τὴν Κάλχαντος μαντικὴν, ἵνα ἐκεῖνος αὐτοῖς εἴπῃ περὶ τῶν οὐ προδήλων. λοιπὸν οὖν ἦν εἰς ἐκεῖνον βλέποντας, καὶ καθῆσθαι, καὶ βαδίζειν, καὶ λαλεῖν, καὶ σιωπᾶν, καὶ τιμᾶν τοὺς ἀγαθοὺς, καὶ μισεῖν τοὺς κακούς. τίνες οὖν ἦσαν, ἐπειδήπερ ἐδιδάχθησαν; κατεψηφίσαντο τοῦ Λοκροῦ θάνατον, ὁ δὲ διέφυγε, καὶ ἦν ἐπὶ τὸν βωμόν.

loque ſenſu præditis barbaris ? Sed qui principatum ob prudentiam tenebat Agamemnon , & orator Vlyſſes, & ætate iã prouecta, ſummam ſibi ſapientiam vindicans Pylius ; his adderem & Tydei filiũ, qui in pleriſque congreſſibus, ac conſilijs meliorem mentem oſtenderat ; ibi omnes ſedebant , Calchantis vaticinia expectantes, vt ille ſibi de occultis , palam ediceret. reliquũ itaque erat, in eo acquieſcẽtes, & ſedere, & ambulare, & loqui, & tacere : probos itẽ viros honore proſequi, odio improbos : quomodo ergo ipſi poſtquam edocti fuerant , affecti ſunt ? Capite Locrum multarunt; ille autem fugam arripit, & aras ample-

πῶς οὖν εἰς τοσοῦτον εἰπέ μοι διέφυγε κακόν; πῶς οὐ γέγονεν ἐκ μέσου τῆς στρατιᾶς ἁπάσης; πρὸ μὲν γὰρ τῆς ταύτην ἐνεχθῆναι, πάντως ἂν αὐτὴν ἀνέμενεν. ἄδηλον ὂν πότερον γνώσονται. κεκριμένου δὲ τοῦ δεῖν ἀποθανεῖν, εὐθὺς ἂν ἀπέθνησκε λίθοις, οὐ γὰρ ἦν οἶμαι τοῦ Παλαμήδους βελτίων. εἰ μὲν οὖν παιδία τὸ πρᾶγμα ἦν, καὶ αὐτοὶ συνέπραττον αὐτῷ πρὸς σωτηρίαν. οὐκ ἀνδρῶν ἔργον Ἑλλήνων ἐποίουν. εἰ δ' ὄντως ἤθελον δίκην λαβεῖν, ἔλαβον ἄν. καὶ οὐκ ἦν διάδυσις τῷ πεπονηρευμένῳ, εἵλκετο δ' ἂν καὶ ἀπὸ τοῦ βωμοῦ δικαίως. καὶ οὐκ ἂν οὕτω κακῶς ἠτίμησαν τὸν βω-

plectitur. Quanam ratione tantam vitauit noxam? Quomodo è medio exercitu ſublatus non eſt? Antequam enim ſententia in eum lata eſſet, omninò eã expectabat; at, quid ipſi dijudicaturi eſſent, incertus. Vbi eum capite plecti debere iudicatum fuiſſet, lapidibus illico obrutus finem poſuiſſet vitæ; neque enim melior, vt opinor, erat Palamede. Si verò iocus res erat, ipſiq; pro incolumitate illius operam ſuam præſtabant, rem ſanè Græcis hominibus indignam operabantur; qui ſi verè ab eo pœnas ſumere voluiſſent, ſumpſiſſent vtique, nullumque improbitati, ac ſceleri perfugium fuiſſet: nanque & ab ara iuſtiſſimo iudicio abſtraheretur; nec ita aram de-

μὸν. οὐδ᾽ αὖ τὸν Θεὸν, ὅσπερ ἦν ὁ βωμός. τουτὶ γὰρ ἦν ἐν τῷ δοκεῖν τιμᾶν τοὺς Θεοὺς, ἀτιμάζειν τοὺς Θεούς. εἴπερ τοὺς εἰς ἐκείνους ἀσεβοῦντας, δι᾽ αὐτοὺς ἐκείνους ἔσωζον. ἀλλ᾽ οἶμαι τοσοῦτον ᾔδεσαν ὡς τὰς καταφυγὰς ταύτας τοῖς πάσχουσι κακῶς, ἀλλ᾽ οὐ τοῖς δικάζουσιν ἐξεῦρον οἱ νόμοι. καὶ οὐκ ἂν τὴν ὀφειλομένην τοῖς χρηστοῖς ἐπικουρίαν, ἐπὶ τὸν πονηρότατον ἁπάντων μετήνεγκαν. εἰ γὰρ ἤρκει βωμὸς εἰς παραίτησιν, τί τὸ κωλῦον ἦν ἀπὸ τῶν ἀδικημάτων εὐθὺς ἐκεῖσε τρέχειν τὸν ἀνδροφόνον, τὸν μοιχὸν, τὸν τυμβωρύχον, τὸν προδότην, τὸν ἱερόσυλον, πάντας ἁπλῶς τοὺς ἀξίους ἀπολωλέναι. καὶ οὕτως ἂν οἵ τε βωμοὶ τοὺς

dedecore affeciſſent, & Deum ipſum, cuius illa erat. Nanque tũ ſub nomine Deos honorandi, Deos inhoneſtaſſent, ſi iniquos, ac contumelioſos in illos, per eoſdem ſeruaſſent. Veruntamẽ exiſtimo, eos optimè calluiſſe, ſimilia perfugia miſeris, afflictisq; non prauis, peruerſisq; à legibus conſtituta: & ſic debitũ bonis auxilium non in omnium iniquiſſimum tranſtuliſſent. Nam ſi Ara ſatis eſt ad veniam, quid impediebat ab ipſis iniurijs rectà ſtatim ad eam accurrere homicidam, adulterũ, ſepulchrorum effoſſorem, proditorem, ſacrilegum; vno verbo, excidio, morteque dignos? & ſic Aræ ſceleratos fouerent,

πονηροὺς ἐπήσκουν, καὶ παρὰ τῶν Θεῶν ἂν ἦν τοῖς ἀνθρώποις εἰς κακίαν παράκλησις, ἐπαγγελομένων ἄδειαν διὰ τῶν βωμῶν τοῖς ἀδικοῦσι. ταῦτ' οὖν ἐγνωκότες οἱ τότε, καὶ διὰ τοῦτό γε μειζόνως αὐτὸν ἐμίσουν, ὅτι τοὺς αὐτοὺς βωμοὺς οὐδέντι ἡγεῖτο, τοῖς μὲν ἄλλοις ἀσθενεῖς εἶναι, αὐτῷ δὲ ἰσχυροὺς ἀξιῶν εἶναι. οἱ δὲ οὕτως ἦσαν εὐήθεις, ὥστ' ἐκεῖνον ἀφέντες, ὥσπερ τῶν Θεῶν ἀντειλημμένων τῆς μιαρᾶς κεφαλῆς, ἐκκλησίαν ποιήσαντες ἐσκόπουν, εἴτ' ἀμυντέον τῶν πρὸς τὴν Ἀθηνᾶν, εἴτε καὶ μή. τουτὶ δὲ ἴσον ἦν τῷ σκοπεῖν, εἴτ' ἄμεινον ἀπολωλέναι τὸ στρατὸν, εἴτε καὶ μή. καὶ διεφέροντο πρὸς ἀλλήλους οἱ παῖ-

uerent, & à Dijs hominibus eſſet ad improbitatem prouocatio, cùm iniuſtis per aras veniam, atque indulgentiam concederent. Horum, qui tunc viuebant, gnari, ob hæc maiorem in modũ illum execrati eſſent, quòd aras ipſas peſſundaret, alijs quidem deboles, ſibi ipſi perquàm validas eſſe volens: at illi ita erant ignaui, vt eo neglecto ac ſi Dij infami illi capiti ſuppetias ferrent, conuocatis Græcorũ copijs conſulebant, An in ea, quæ in Palladem geſta fuerant, animaduertendũ eſſet, nec ne? Hoc porrò ſimile eſt, ac ſi cõſulerent, An melius ſit vniuerſum exercitum internecione deleri, vel non. Et inter ſe Atrei filij, tunc primùm id fa-

δεῖς Ἀτρέως, τότε πρῶτον τοῦτο ποιήσαντες. καὶ ὁ πανταχοῦ τὸν Ἀγαμέμνονα τιμῶν, καὶ ὑπερεχόμενος, μετὰ τοὺς μυρίους ἐκείνους μόχθους, οὓς ὑπὲρ αὐτοῦ, καὶ τῆς Ἑλένης ἀνεχόμενος οὐκ ἀπεῖπεν, ἐκεῖνος ὑβρίζειν ὑπάδων, εἰ τῶν ἐριζόντων ἦν, ἀλλ' οὐ τῶν πειθομένων. καὶ ταῦτα τὸν μὲν καὶ λέγοντος, καὶ πράττοντος, ἃ κοινῇ συνοίσειν ἔμελλεν· αὐτὸς δὲ τὰ πάντων ἀλυσιτελέστατα. τί δ' ἦν τὸ καὶ τὸν Μενέλαον οὕτω κατάγον; οὐκ ἐφ' ᾧ πάντα ἐπραγματεύετο, τοῦτο εἶχε τὴν Ἑλένην; οὐ μόνος τῶν Ἀχαιῶν ἐπὶ τῆς Τροίας συνῴκει τῇ γυναικί; παρὰ δὲ ἦν μὲν οὖν ἠπείγετο ἀπὸ Σπάρτης

facientes, diſſidebant. Et qui locis in omnibus Agamemnonem venerabatur, fouebatque, hic poſt innumeros illos exantlatos labores, quos pro ſe, atque Helena ſuſtinens, non fuerat defatigatus; is iniurijs petulanter afficiebat, ſi ex diſſidentibus, & non ex obedientibus erat: eoque potiſſimùm, cùm hic & dicto, & facto, quæ omnibus conducebant, conaretur, ipſe autem omnia quàm maximè inutilia. Quid verò erat, quòd Menelaũ tantopere concitabat? annon, pro quo omnia ipſe moliebatur, Helenam nempe, poſſidebat? Annon ſolus inter Græcos vnà cum vxore cubabat? At ipſe magna concitatione è Sparta in Ilium properabat: id abs re erat.

εἰς Τροίαν. εἰκὸς ἦν τὸν τὴν ἡρπασμένην κομίζεσθαι ζητοῦντα, ἔχοντα δὲ καὶ κεκομισμένην, καὶ λελυμένον τῶν δεινῶν, τίν' εἶχε λόγον μικρὸν ὑπὲρ τῶν ἀναγκαίων μὴ βουλεύεσθαι, μένειν. μᾶλλον γὰρ ἦν εἰκὸς τοῦτο παθεῖν τὸν Ἀγαμέμνονα ποθοῦντα τὴν Κλυταιμνήστραν, ἢ τὸν ἀπολαύοντα τῆς ἑαυτοῦ τὸν ἀδελφὸν Ἀγαμέμνονος. οὐ τοίνυν οὐδὲ τὴν Ἀθηνᾶν εὑρίσκω δίκην εἰδυῖαν ὑπὲρ αὐτῆς λαμβάνειν. σκόπει γάρ. ἐπέπεμψε χειμῶνα τῷ Μενελάῳ πλέοντι. διὰ δὲ τούτου πολλὰς μὲν τῶν ἐκείνου νεῶν διέφθειρεν, αὐτὸν δὲ εἰς Αἴγυπτον ἀπλώεσκεν. ὅθεν ὕστερον ἀναχθεὶς εἶδε τὴν οἰκίαν, καὶ πάλιν ἐβασίλευε τῆς Λα-

ptum conuexit, vnde ribus exceptus, rurſus

erat, cum curſum feſtinare, qui raptā recuperare ſatagebat: ſed cùm raptam iam poſſideret, à malis vindicatam, quomodo ſe expurgare poſſet, ſi itionem ſollicitaret, nec, quouſque de neceſſarijs conſulebatur, pedem figeret? id potiùs Agamenoni, Clytæmneſtræ deſiderio ſaucio, quàm Agamemnonis fratri, habenti ſuam, procurandum erat. Nec dum ergo ipſam Palladem comperio ſcientem pœnas pro ſemetipſa à delinquētibus ſumere. Et videſis: Nauiganti Menelao tempeſtatem indixit, perquā & multas illius naues perfregit, eumq; in Ægypţum conuexit, vnde poſtea redux, & laribus exceptus, rurſus Lacedæmonis imperium

κεδαιμονίας. οὐκοῦν ὁ μὲν ὀφείλων ἀποθανεῖν, σώζεται, οἱ δ' οὐ σφόδρα μετέχοντες τῆς ἐπὶ τῆς ἐκκλησίας ἡμαρτημένων, ἀπόλλυνται. καὶ τίς οὕτως ἀνθρώπων ἄτοπος, ὅστις ἐλάττονι μὲν ζημιώσει ζημίᾳ τοῦτον, ᾧ τὰ μέγιστα ἐγκαλεῖ, μεγίστῃ δὲ, τῷ μηδὲν μέμφεται. τὸ γὰρ δίκαιον ἦν δήπου, τοὺς μὲν ὑπηκόους αὐτοὺς σεσῶσθαι, μόνον δὲ ἐκεῖνον ἀπολωλέναι. τοῦτο δὲ εἰ μὴ βούλεσθαι τὴν Ἀθηνᾶν, ἢ μὴ βουλομένην δύνασθαι, τῆς ἴσης ἀτοπίας. ἀλλ' ἡ μὲν Θεὸς ἐβούλετο τὰ δίκαια, καὶ ὅ,τι ἂν ἐθέλοι πράττει. τοῖς δὲ ταῦτ' εἰρηκόσιν ἐπιτιμᾶν ἄξιον.

rium tenuit. Itaque morti addictus ſeruatur; qui verò, quod Senatus admiſerat, peccati nō adeò participes erant, exitio plectuntur. Et quisnam hominum amẽs adeò, atque impotens eſt, vt quem pro maximis accuſat, minori plectat ſupplicio, maximo verò, quẽ nullius inſimulat? Id nãque iuſtum prorſus erat, ſeruatis ſubditis, eum tantùm in perniciem agi. Et hoc aut non voluiſſe Mineruam, vel volenti poteſtatem defuiſſe, æquè auribus, animiſque hominum abſurdum eſt. Veruntamen Deæ ipſi iuſtum in animo erat; eaque quidquid ſibi proponit, perficit: illis autem, qui hæc garriunt, os obſtruendum eſſe mihi videtur.

KATAΣKEYH.

Ὅτι εἰκότα τὰ κατὰ τὸν Αἴαντα τὸν Λοκρόν. δʹ.

ΟἹ τὸν Αἴαντα τὸν Οἰλέως μὴ φάσκοντες, ἃ τετόλμηκε περὶ τὴν Κασσάνδραν τετολμηκέναι, μήδ᾽ ὅσα τούτοις ἠκολούθησε, γεγονέναι, δοκοῦσι μοι τοῦτο πάσχειν, ὅπερ ἐγκαλοῦσιν αὐτοὶ, ψεύδεσθαί τε, καὶ τοῖς ἀληθῶς πεπραγμένοις μάχεσθαι. πρῶτον μὲν γὰρ τί καινὸν, ἢ κόρην κάλλει διενεγκεῖν, ἢ τοῦτο στρατιώτην ἰδόντα θαυμάσαι, ἢ θαυμάσαντα παθεῖν τι πρὸς τὸ κάλλος, καὶ τοῦ καιροῦ διδόντος ἐξουσίαν, μιγῆναι; νενικηκότες γὰρ οἶμαι, καὶ τὴν τῶν πολεμίων μόλις ἑλόντες πό-

CONFIRMATIO.

Veroſimilia eſſe, quæ de Aiace Locro circumferuntur. 4.

QVi Oilei filium Aiacem, quæ temerè audax in Caſſandram patrauit, nõ auſum, neque quæcunque his ſubſecuta ſunt, confecta fuiſſe aſſeuerant, id mihi videntur perpeti, cuius alios ipſi inſimulant, mentiri nempe ampliter, & verè geſta oppugnare. An nouum enim eſt, vt inde initium ſumã, vel puellam pulcherrima facie prędítam eſſe, vel militem forma conſpecta eam collaudaſſe, vel admiratum eius venuſtates, vt hominem affectũ, & occaſione ferente, ac permittente viuram corporis accepiſſe? Victoria nanque po-

λιν ἐν τοῖς τῶν ἡττωμένων ἐτρύφων. τοῖς μὲν οὖν ἄλλοις ἄλλα ἐφαίνετο καλὰ, καὶ ταῦτα ἐκτῶντο. Αἴαντα δὲ τὸ τῆς Κασσάνδρας πρόσωπον πάντων ἔπεισε τῶν ἄλλων ὑπερορᾶν. καὶ ταύτην ἐδίωκεν. εὐχὴ δὲ ἄρα ἦν τοῖς Ἕλλησι πολεμοῦσι τοῖς ἴσοις τοὺς ἐναντίους ἀμύνασθαι, καὶ περὶ τὰς ἐκείνων γυναῖκας δρᾶσαι τοῦτο, ὃ περὶ τὴν Ἑλένην ἐκεῖνοι. τὴν Ἀθηνᾶν δὲ οὐκ αἰσχυνόμενος Αἴας, οὐ καλῶς μὲν, ἐρῶντος δὲ ἔργον ἔπραττεν. τοῦτο δέ ἐστιν ὑπὸ τοῦ κρατοῦντος ἄγεσθαι, καὶ πάντα τολμᾶν ἀναγκάζοντος τοῦ Θεοῦ. Θεὸς τοίνυν ἐνίκα Θεόν. ὁ Ἔρως τὴν Ἀθηνᾶν, μᾶλλον δὲ τὴν πρὸς ἐκείνην αἰδῶ τὰ τούτου βέλη,

titi, & tandem aliquando hoſtium Vrbe ſubacta, deuictorum bonis abutebantur. Alij itaque alia bona eſſe apprehendentes, illa ſibi conquirebant; Aiacem verò Caſsādræ facies, vt reliqua omnia ſperneret, ſuadebat; hinc eam perſequebatur. Et vnum Græcis bellantibus id votum erat, vt ſimilibus aduerſarios compenſarent, & in eorum vxores id ipſi, quod illi in Helenam, pertentarent. Et ſanè Mineruam Aiax nō reueritus, malè quidē; veruntamen amantis opus peragebat. id autem eſt, ab imperante agi, & Deo impellente audere omnia; Deus ergo vincebat Deum, Cupido Palladem, immo reuerentiam erga eam ipſius

ὧν οὐδὲν πικρότερον, οὐδὲ δυνατώτερον. τοῦτο ἀσθενῆ πάντα τὰ ἄλλα ποιεῖ, πατρὸς λόγους, μητρὸς δεήσεις, φίλων παραινέσεις, νόμων ἀπειλάς. ἐπεὶ καὶ τῶν μοιχευόντων ἕκαστος, οἶδε μὲν ὡς οὔτε λαθεῖν ῥᾴδιον, ἄλλως δὲ ἀποσφαγήσεται, χωρεῖ δὲ ὅμως ἐπ' ἐκεῖνα, ἐν οἷς οἶδε ταῦτα ὄντα. καὶ τί δεῖ τὸν ἔρωτα λέγειν, καὶ τὴν ἔρωτος δυναστείαν. ἀλλ' ἡ πενία τοὺς ἱεροσύλους ποιεῖ, καὶ νυκτὸς ἐπιθέμενος τὶς τοῖς ἀγάλμασι, στεφάνους ἀφελόμενος τῶν κεφαλῶν, ἀπῆλθε φέρων, οὐχ ὡς λήσων τοὺς Θεοὺς, οὐδ' ὡς μὴ ληψόμενος τὴν ἐκείνων πεῖραν ὀργῆς, ἀλλ' ὡς οὐκ ἐώσης τῆς παρε-

ipſius tela, quibus nihil amarius, aut valentius eſt. Hoc cæteris omnibus imbecillitatem indit, paternis ſermonibus, maternis precibus, amicorũ adhortationibus, legum minis; quandoquidẽ & quicunque adulterat, ſe non ita facilè latere poſſe, ſin minùs & neci ſe tradendum optimè callet; fertur tamen in illa, in quibus hæc ipſe diſcrimina agnoſcit. Quid porrò de Amore, & illius poteſtate ſermonem inſtituimus? penuria ipſa ſacrilegos facit, & noctu quiſpiam ſtatuas inuadens, & ex capitibus coronas ſurripiens, deportans abijt, non vt Deos eluſurus, neque vt eorum iram non ſubiturus, ſed vt præſente inopia, in eorum quid-

στης ἀπορίας, οὐδὲν ἐκείνων λογίζεσθαι. καὶ ὅτι οὐκ ἴσον εἰς ἀνάγκην ἔρχεται, καὶ τὸ σπανίζειν ἀργυρίου, τίς τῶν ἁπάντων οὐκ οἶδεν. ὁ τοίνυν Αἴας τῷ λογισμῷ μὲν οὐδὲν ἔδρα. πάντα δὲ ἐπιθυμίᾳ, δι' ἣν ἴσως κἀκεῖνο ἔπειθεν ἑαυτόν, ὡς ἐκλέλοιπεν ἡ Θεὸς ἑαλωκυῖαν τὴν πόλιν. τοῦ Δαίμονος δὲ ἀπούσης, οὐδὲν ἀμείνων εἴη τῶν βεβήλων ὁ νεώς. ἡ δὲ ἔνδον τε ἦν, καὶ τοῖς γινομένοις ἤλγει, καὶ τῶν Ἑλλήνων ἡγεῖτο κοινὸν τὸ ἀσέβημα τῶν οὐδεμίαν ἐπιστροφὴν πεποιημένων. οἱ δὲ ἄρα τοῦτο ἠγνόουν πλὴν τοῦ μάντεως. τούτῳ γὰρ ὁ μάντις τῶν ἄλλων βελτίων, τῷ τὰ τοὺς ἄλλους διαφεύγοντα ἐπίστασθαι. καὶ οὐκ ἂν

piam mentem non permittente reflecti. Et tamen diſcrimen eſſe inter amoris, & argẽti inopiæ neceſſitatem, inter mortales omnes quis non nouit? Aiax itaque cogitatione quidem nihil agebat, omnia verò cupiditate: quæ etiam fortè, & illud ſuaſerat, vrbem captam, à Dea deſtitutam, & abſente numine, rebus ipſis profanis templum nihilo melius eſſe. Dea nihilominus intus erat, rebus geſtis indolens, & ſcelus Gręcis commune omnibus, qui in ſaniorem mentem rem animaduertẽtes, non redierant, exiſtimabat. Hi verò, vno excepto Vate, id ignorabant. Eo nanq; Vates alijs præſtantior eſt, quòd, quæ alios latent, ipſe ſciat. Et ſanè haud

nunc

μὲν φαίην, ὡς οὐκ ᾔσθοντο τῆς περὶ τὴν Κασσάνδραν. ἡγοῦντο δὲ ἴσως ὥσπερ ἄλλων πολλῶν οὐ λαμβάνουσιν οἱ Θεοὶ δίκην, οὕτως οὐδὲ τούτων τὴν Ἀθηνᾶν ζητήσειν. ἢ καὶ νὴ Δία γε ζητοῦσαν παρὰ μόνου λήψεσθαι τοῦ δεδρακότος. ἀπῆγεν ὡς εἰκὸς αὐτοὺς κἀκεῖνα τῆς περὶ αὐτῶν προνοίας, ἥ τε ἀπὸ τοῦ νενικηκέναι χαρὰ, καὶ ἡ περὶ τὴν λείαν σπουδὴ, καὶ τὸ πρὸς τὴν θάλατταν ἤδη βλέπειν, καὶ τὸ τοῖς παροῦσιν ἀγαθοῖς μὴ δεῖν ἐπισάττειν μηδέν. οἱ μὲν οὕτως, ὧν ἥκιστα ἐχρῆν, ἠμέλουν, καὶ τῶν νεῶν ἥπτοντο. ὁ δὲ τὴν τῶν Θεῶν ἄριστα γνώμην εἰδὼς ὁ Κάλχας, ὁ καὶ τὸν λοιμὸν αὐ-

nūc affirmarem, quæ cum Caſſandra acta fuerant, Græcos non percepiſſe. Sed fortè exiſtimabant, qua ratione de multis alijs Dij pœnas non ſumunt, eadem Mineruam rebus hiſce animum non applicuiſſe; vel tantùm, per Iouem, à ſcelerato & perdito ſumpturàm. Diſtorſit, vt veriſimile eſt, eoſdem ab eiuſcemodi prouidētia, pro victoria habita lætitia, & cuncta prædandi ſtudium, & promptus per mare diſceſſus, & præſentibus iam bonis nihil vltra exaggerandum. Et hi quidem hac ratione, quæ penitus non decebat, negligere, & nauibus manus apponere. Qui verò omnium optimè Deorum mentem callebat Calchas, qui & arte peſtilentiam illis priùs extinxerat, ap-

ταῖς λογικῶς τῇ τέχνῃ τ
καὶ συνιεὶς, τὴν ὀργὴν τοῦ καὶ
τὰ γενησόμενα δεινὰ
παρεώρα, καὶ ὅπως τὰς
ἔσται τῶν ἡμαρτημένων
ἴασις ἀνεβάλλετο σκοπεῖν.
καὶ τίς ἦν ἡ Θεὸς πρὸς
αὐτοὺς, ἐφ' οἷς ὕβριστο,
παρελθὼν ἔφραζεν. οἱ ἐν-
τεῦθεν ἐφέροντο παρὰ
τοῦ πεπαρῳνηκότος. ὁ
δὲ, ἐπὶ τὴν μόνην ἐν τοῖς
τοιούτοις καταφυγὴν οἴ-
δε τοὺς βωμούς. οὐκ ἂν
ἐκεῖνοί τε ἔπραττον ἃ
ὑπὲρ ὧν τὴν Θεὸν δεδοικό-
των ἦν. οὔτως τ' ἂν τὴν
τιμωρίαν. ἀποσπᾶν δὲ
ἄνδρα τῶν βωμῶν ἐχό-
μενον, οὔτε νόμιμον, οὔτε
καλὸν, καὶ ταῦτα ὁμό-
φυλον, καὶ στρατηγὸν, καὶ
τῇ τῶν Ἑλλήνων ἀκαιρίᾳ
τῶν ὁμωνύμων πολλαχοῦ
μεμιμημένον. ὅμως δὲ

prehendens iram, & futuras calamitates deſpectui habebat, & modũ ad euitandas imminẽtes pro ſceleribus noxas, vt perquirerent, conſulebat, & qualis nam Dea offenſa erga ipſos eſſet, in medium veniens euulgabat: Illi ſubinde in flagitioſum cõtentioſè ferebantur: hic, quod eſt ſolum in ſimilibus perfugium, ad aras accurrit. Verùm illi nũquam ea patraſſent, pro quibus Deorum ira timenda eſt, ſicq; eum impunitum dimiſiſſent: aſt Virum aris infixum, ab aris auellere, neque iuſtum, neque honeſtũ eſt, & præcipuè propinquum genere, copiarum ductorem, & Græcis, calamitatibus oppreſſis, equè ac alium cognominem, multoties per-

op-

οὐκ εἶχε λόγον ταῦτα καὶ μέμφεσθαι, καὶ ποιεῖν, καὶ τὸ τὴν Θεὸν ὀλιγωρεῖσθαι δεινὸν ἡγουμένους, αὐτοὺς τὴν βωμῶν καταλύειν τὴν τιμὴν, καὶ τὰ Αἴαντος κακὰ, δι' αὐτῶν τῶν εἰς τὸν Αἴαντα μιμεῖσθαι. ταυτὶ μὲν ἐκεῖνον ἔσωσεν. ὡς δὲ πάλιν εἰς ἐκκλησίαν ἤεσαν, οὐ ταυτὰ τοῖς Ἀτρείδαις παρειστήκει φρονεῖν· τοῦτο δὲ οὐδὲν καινὸν, μὴ τὰ αὐτὰ τοῖς συμβουλεύουσιν ἐφ' ἑκάστου τῶν πραγμάτων ἀρέσκειν· ἀλλὰ τῷ μὲν τοῦτο, τὸ δὲ ἕτερον δοκεῖν. τοῦτο τοίνυν καὶ τότε συνέβη, τὸν μὲν πρεσβύτερον, καὶ τῶν ὅλων ἐπιστατοῦντα, τὸ συνοῖσον ἅπασι τοῖς Ἕλλησι καθορᾶν, τὸν δὲ Μενέλαον ἀμείνω τὰ χείρω νομίζειν. ἀπειληφὼς γὰρ

opportunum. nihilominus hæc non ſuadebant, & quæri, & facere, & Deam ſpernere, dirum eſſe opinantibus, ararum honorem peſſundare, & Aiacis flagitia, per quæ ipſi in Aiacem conati fuerant, æmulari. Hęc autem illum ſeruarũt. Vt verò rurſus in comitia aduocantur, non in eandem ſentẽtiam Atridæ iere. haud etenim nouum eſt, conſulentibus de vnaquaque re non eadem complacere. Sed hic quidem huic, alius alteri plaudit. Hoc tunc quoq; temporis euenit, grandiorem natu ſcilicet, & omnibus imperantem, Græcis omnibus conducibilia conſectari: Menelaum, quæ peiora erant, potiora ducere. Recuperata nanque,

οἶμαι τὴν Ἑλένην, καὶ οὐκέτι ἀξιῶν ὁμοίως εἴκειν Ἀγαμέμνονι, καὶ ἀποδιδοὺς ἀποδοῦναι τῷ μὲν οἴκῳ τὴν γυναῖκα, τὸν οἶκον δὲ τῇ γυναικί. καὶ τὴν μὲν ἐπὶ πλέον διατριβὴν ἡγούμενος ζημίαν. εὐδαίμων δὲ ἐπιβῆναι τῆς Σπάρτης, δεικνύντα τοῦ πολέμου τὸ ἆθλον. διὸ δὴ πάντα ταῦτα περὶ τοῦ δεῖν ἀποπλεῖν ἐμάχετο, τῷ ἀδελφῷ συμβουλεύοντι μένειν. κακῶς μὲν φρονῶν. * συμφερόντων προτιθείς. καὶ τοῦτο ἐμάνθανεν ἤδη πολεμῶν, ὁρῶν μὲν τὰς πολλὰς τῶν νεῶν ἀπολλυμένας, ὁρμιζόμενος δὲ εἰς Αἴγυπτον, οὐκ εἰς Λακεδαίμονα, καὶ πενθῶν μὲν τοὺς ἀποπνιγέντας τῶν στρατιωτῶν, ὀδυρόμενος δ' ἑαυτὸν

que, vt arbitror, Helena, nec vltra Agamemnoni ſubdi cupiens, incumbensq; ædibus vxorem, & ædes vxori reſtituere, ac diuturniorem moram damnum ratus, ſeq; fortunatum exiſtimans, ſi conſcenſa Sparta belli triumphũ ageret, hæc omnia pro non procraſtinanda nauigatione conſerebat, licet Frater, vt permanerent, ſuaderet; malè quidem ſentiens, & propria commoda publicæ vtilitati præponens. & hoc ex anteacto bello addiſcebat, conſpiciens pleraſq; nauium deſtructas. In Ægyptum verò & non in Lacedæmonem appellés, & militum aquis interemptos deplorans, ſeque metipſum in peregrino ſolo commoran-

ἐν τῇ ξένῃ καθήμενος. δίκην ταύτην μεγίστην διδοὺς, ὧν ἕνεκα ἠπείγετο ταῦτα ἡμαρτηκέναι. Θεοὶ δὲ ἀνθρώπους οὐ τοῖς αὐτοῖς κολάζουσιν εἴδεσιν, ἀλλὰ τὸν μὲν εἰς πενίαν ἐνέβαλον, τὸν δὲ παίδων ἀπεστέρησαν, τὸν δὲ τὸ σῶμα ἐπήρωσαν, καὶ τὸν μὲν τὶς ἐτελεύτησεν; ὁ δὲ ζῶν ἐν πλάνῃ κακοπαθεῖ. ταύτην καὶ Μενέλαος ἐδίδου δίκην, πόρρω μὲν ὢν τῆς οἰκίας, αἰσχυνόμενος δὲ τοὺς ζῶντας ὑπὲρ τῶν οἰχομένων, ἀντὶ δὲ τῆς ἐν Σπάρτῃ βασιλείας, πολλὰ ταπεινότερα τῆς ἀξίας τῆς αὐτοῦ, περὶ θύρας ἀλλοτρίας ἠναγκασμένος περιπατεῖν:

rantem; pœnam hãc peſſimam perſoluit, ob ea, quæ ipſe non cunctando peccauerat. Dij autẽ non eodem pœnarum genere mortales puniunt, ſed hũc quidem paupertate onerarunt; alium filijs ſpoliarũt; huic corpus mutilarunt, & hoc quidem diſcrimine quiſpiam mortem obijt; ille viuens adhuc, & extorris, malis afflictatur. Hanc & Menelaus dedit pœnã longè à domo euagans, viuentes pro ijs, qui fato functi fuerãt, erubeſcens, & pro Spartano imperio multa, infraq; dignitatem ſubiens, circa portas alienas oberrare neceſſitate coactus.

ΘΕΣΙΣ.

Εἰ τειχιστέον τὰς Πόλεις. ε.

Ὁ τὴν φυλακὴν τοῦ βίου ζητῶν, αἱρείσθω τὰ τείχη. πᾶν γὰρ ὃ ταῖς πόλεσι σώζεται, φρουρεῖται τοῖς τείχεσι. τειχίζει μὲν γὰρ οὐρανὸς τοὺς Θεοὺς, τὰ δὲ θνητῶν διατηροῦσι περίβολοι. καὶ ὅ τοῖς Θεοῖς οὐρανὸς, τὰ τείχη θνητοῖς. καὶ ἐγὼ μὲν τοὺς Ποιητὰς ἄγαμαι, τειχιστὰς τοὺς Θεοὺς πεποιηκότας τῆς Τροίας. οὕτως καὶ ὅσοι Θεῶν οὐ δεδύνηνται, τεῖχος κατεσκευάζοντο, καὶ τιμᾶται καὶ παρ' αὐτοῖς οὐκ ἐν χρείᾳ καθεστηκόσιν ἡ τέχνη. σοφώτεροι μὲν γὰρ ἐκ τειχῶν ἄνθρωποι γίνονται, καὶ κατ' ἐξουσίαν ἐκκλησιάζειν τείχη δεδώκασιν.

PROPOSITVM.

An muris ſint Vrbes cingendæ.

QVi vitæ ſuæ inſtitutum tutari cupit, eligat mœnia; quidquid enim in Vrbibus conſeruatur, mœnibus cuſtoditur: munit Deos Cœlum mœnibus, res verò mortalium valla defenſant: & quod Dijs Cœlum, id mortalibus mœnia ſunt. Ipſe quoque Poëtas admiror, qui Troiam mœnibus Deos cinxiſſe fabulantur: & quotquot Deorũ viribus imbecilliores ſunt, murum extruxerũt; habeturq; apud eos, licet ea non indigeãt, ſimilis Ars: Sapientiores etenim murorum ſepto homines euadunt; & liberè & abſque diſcrimine uti comitijs muri dederunt.

ἔπειτα πρὸς μάχης ἐπαίρει κατασκευὴν, καὶ κατασκευὰς τῶν ὅπλων ἑστηκότες περίβολοι νέμουσιν. καὶ μὴν τὰ τείχη σωφροσύνην διατηρεῖ. παθεῖν γὰρ οὐκ ἐῶσι γυναῖκας, ὅσα γυναιξὶν οἱ πολέμιοι φέρουσιν. καὶ δικαστηρίων σωζομένων ἐκ τείχους ἐντεῦθεν, ἄνθρωποι καθεστήκασι δίκαιοι. εἰ δὲ διὰ τείχους ἐρρωμένοι γεγένημεν, καὶ περὶ τῶν δεόντων ἐβουλευσάμεθα, καὶ τὰ δίκαια σώζεται τείχεσι, καὶ ἡ διὰ τούτων τὸ σωφρονεῖν, πῶς οὐκ εἰς ὅσον οἷόν τε πλεῖον τὰ τείχη ἐγείρομεν; Νὴ Δία, φησίν· ἀλλὰ δειλίας τὰ τείχη καθεστήκασι πρόφασις. Δεινὸν ὀνομάζεις τὴν πρόνοιαν, καὶ τὸ κάλλιστα τῶν ἔργων αἰσχίστοις προσ-

runt. Prætereà in apparatum bellicum ſe extollunt, & inſtructiones armorum ſtãteſ ambitus exhibẽt. Porrò pudicitiã præſidio tegunt mœnia; neque enim pati mulieres ſinũt, quæ mulieribus hoſtes apportant: & dum conſeſſus iudicum conſeruatur, homines iuſtitiæ addicuntur. Si verò propter muros viribus cõnſtipamur, deque neceſſarijs, & quibus opus eſt, conſilia tutò inimus, & quod iuſtum eſt, mœnibuſ defenſatur, ac pudicitia per eã ſecuro eſt loco; quanam ratione quantùm vires noſtræ extenduntur, muros non extruimus? Ita eſt, ait; ſed ignauiam, ac timiditatem muri conciliant. Prauam enimverò compellas prouidentiam, & pulcherri-

βάλλεις ὀνόμασιν. καὶ
δι' ὧν ἐρεῖς, οὐκ ἐᾷς περι-
βάλλεσθαι, ἀλλὰ καθί-
στασαι τῆς ἀσφαλείας κα-
τήγορος, ὄκνον ὀνομάζων
τὴν φυλακήν. τοὐναν-
τίον ἄνθρωπε θαῤῥεῖν
τὸ τεῖχος, οὐ δεδιέναι
παρέχεται. καὶ γὰρ ὅπλων
ἀποσείσασθαι παρασκευὴν,
καὶ ξίφος ἀπαμύνασθαι ἐχ-
θρῶν, καὶ κατ' ἐξουσίαν
ποιεῖσθαι νίκην τοῖς μα-
χομένοις μόνη τῶν τει-
χῶν παρέσχεν ἡ τέχνη.
πῶς οὖν ἔτι δειλίαν ἐ-
ρεῖς τὰ μόνα δειλίαν ἀν-
ῃρηκότα καθάπαξ; τ-
οὐναντίον γὰρ ἔγωγε ἐ-
γνωκα τοῖς πολεμίοις ἐκ
τῶν περιβόλων ἐγγίνεσθαι
τὸ δέος. καὶ μὴν τί
πάθωσιν οἱ ἄνωθεν πο-
λεμοῦντες; μὴ δεδοίκα-
σιν; ὥστε εἰ μὲν τὸ δέος
τῶν πολεμίων ἐρεῖς, ὁμο-

ma operum ignomi-
nioſis nominibus in-
uoluis, & ijs, quæ di-
cturus es, nos circũ-
ſepiri non finis, ſed
ſecuritatẽ redarguis,
& accuſas, dum cu-
ſtodiam ſegnitiã nun-
cupas. Oppoſitũ, mi
homo, eſt; audaciam
murus, non puſilla-
nimitatem conciliat:
nam & armorum ap-
paratum depellere, &
enſem aduerſariorum
propulſare, & pro-
pria poteſtate victo-
riã conſequi, pugnan-
tibus ſola murorum
ars dedit. Quomodo
igitur ignauiam vo-
cas ea, quæ ſola igna-
uiam prorſus diſcu-
tiunt? contrarium
enim ipſe expertus
cognoſco, ex ſimili
murorum ambitu ad-
uerſarijs timorem incuti. Item, quid ex al-
to pugnam inferentes perpetiuntur? an ter-
rore

λογεῖς καὶ τὸ τεῖχος. εἰ δὲ τῶν πολιτῶν ἀπὸ τῶν ἔργων θήσω τὴν τόλμαν. ἄφες οὖν ταύτης τῆς αἰτίας τὸ τεῖχος. Ναί φησιν. ἀλλὰ δαπανηρὰ τοῖς κεκτημένοις τὰ τείχη. τείχη τὰ ὄντα πόρον ἀνάλωσε, καὶ πόθεν ὁ τῶν ἀνθρώπων τετήρηται πλοῦτος; τὴν περιουσίαν φρουροῦσι περίβολοι. καὶ μετὰ τῶν χρημάτων τηροῦσι τὰ χρήματα. καὶ κοινὴ φυλακὴ περιουσίας εἰσὶ καὶ τῶν πολιτῶν. ὥστε τὰ τείχη τῶν χρημάτων τοῖς κατοικήσασιν οὐ δαπάνην ἐπήγαγεν, ἀλλὰ τὸν ὄντα τετήρηκε πλοῦτον. καὶ διχόθεν εἰσὶ φυλακαὶ δι' αὐτῶν τῶν τειχῶν. τὸν μὲν γὰρ οὐκ ὄντα πλοῦτον συλλέγειν ἑστηκότες περίβολοι νέμουσι. τὸν δὲ γεγενημένον

rore pulſantur? adeò, ſi metum hoſtium eſſaberis, iam & muros fateris; ſi Giuium, eorum ipſe audaciam ex muris ponam. Ne itaque hac ratione murum incuſes. Ais porrò tu; Sed mœnia poſſidentibus nimio sũptu dãnoſa; quæ rem familiarem atq; ſubſtantiam conſumpſere, exagitas. Et vnde nam hominum opes conſeruantur? valla cuſtodiunt bona, & pecunijs pecunias vnà tutantur, communisq; facultatum, & ciuiũ cuſtodia ſunt; adeò vt mœnia habitatoribus haud pecuniarum diſpendia attulerint, ſed poſſeſſas copias propugnarint. Quin duplex per mœnia cuſtodia traditur; diuitias enim, quæ non ſunt, colligere ſtantes ambitus dant, & quas

ἐκ τῆς τῶν τειχῶν φυλακῆς ὑπάρχει διατηρεῖν. ὥστε οὐ τὸ τεῖχος δαπανηρὸν, ἀλλὰ τὴν οὖσαν ἀφαιρεῖται δαπάνην. φέρε γὰρ πρὸς Θεῶν, εἰ πολέμιοι τοῖς οἰκοῦσι προσβάλοιεν, καὶ πάντα ἄφνω κατεργάσεται πόλεμος, τήν τε τῆς πόλεως περιουσίαν ὑφαρπάζειν πειρώμενοι, καὶ μηδένα λοιπὸν τοῖς κατοικοῦσι πόνον καταλιπεῖν. εἰ ταῦτα πράττειν οἱ πολέμιοι σπεύδοιεν, τί τοῦ μὴ παθεῖν καταστήσεται κώλυμα; ἢ δηλονότι τοῦ μὴ διαφέρεσθαι τὸν ἔνδοθεν πλοῦτον φιλοτιμεῖται τῶν περιβόλων ἡ τέχνη. πῶς οὖν οὐκ ἄλογον πολεμίους μὲν πάντα καταλαβεῖν ἀπὸ τῶν περιβόλων κωλύεσθαι, κατηγορεῖν δὲ τειχῶν ὡς δαπάνης αἰτίων; μετὰ τὰ τείχη, καὶ περίβο-

iam poſſides murorũ ſepto prȩmunire: quare murus damnoſus non eſt, ſed ſumptum impendẽdum ſubducit. Age enim per Deos, ſi bellum omnia vaſtauerit, ſi hoſtes in habitatores impetũ fecerint, ciuium facultatibus inhiãtes, quas ſurripere geſtiãt, nullũq; accolis fructũ ex laboribus reliquũ facere conentur: ſi hæc inimici perpetrare cõtendent, quid ad ea non ſubeunda erit impedimento? annon ne bona, quæ intus ſunt, effluant, circumuallãdi ars ſtudioſè procurat? Quomodo ergo non abſurdum eſt, hoſtes ne omnia diripiant, à muris impediri, muros verò tamquam impendioſos redarguere? Poſt muros &

λοι τοῖς χρωμένοις σωτήριον· καὶ ἡ τύχη τοῖς κτωμένοις ἀσφάλειαν τῆς περὶ τὰ τείχη πεποίηται τέχνην. ὅτιπερ οὐκ * θαῤῥοῦντας τειχίζεσθαι. καὶ τοίνυν * ὑπὸ τειχῶν, διὰ δὲ περιβόλου πολιτεύεται δίκαια, καὶ συνοίκουσιν οἷς αὖ * μένα καὶ τειχίσαι πᾶσι τιμητέον τὰ τείχη τιμᾷν εἰδότα καὶ πολιτείαν, καὶ βίον.

aggeres vtentibus ſaluti ſunt: Et fortuna, poſſeſſis ſecuritatem, ad exſtruenda mœnia artem exhibuit; etenim ſine murorum ope res effluunt, & audacia cadit. A' muris quidem humanæ vitæ ratio conſeruatur. & circuitu iuſtitia mortales inter colitur: omnibusq; lucro ducendum eſt, quibus conditio dedit, vt Vrbes ſuas mœnibus cingant. In honore itaque muri habendi ſunt, per quos Reipublicæ ſtatus, & humanæ vitæ ratio in honore, ac pretio habentur.

ΘΕΣΙΣ.

Εἰ πλευστέον. ς'.

ΟΥ'κ οἶδα, εἴτις ἐμπορίαν ἠτίμασεν, ὁ Θεῶν εἰδὼς γεγονότα τὸν πλοῦν. προῆλθε μὲν γὰρ τὸ χρῆμα τῆς Ἀθηνᾶς, καὶ σοφῆς Θεοῦ γε-

PROPOSITVM.

Si enauigandum eſt. 6.

HAud noui, an quiſpiam mercaturam ſpreuerit, qui à Dijs nauigationem originem calluerit duxiſſe. Opus enim à Pal-

 lade

γονὸς πάντως που τῷ βίῳ καταφανὲς πρὸς ὄνησιν. τὸ γὰρ ἐξ ἀγαθῶν, καὶ ταῦτα Θεῶν, τοῖς λαβοῦσιν ὠφέλιμον. ὁρῶσα γὰρ ἡ Θεὰ ἀνόνητα τὰ τῆς γῆς τοῖς ἀνθρώποις τυγχάνοντα, μὴ παρόντος τοῦ πλεῖν, οὕτως ἐργάζεσθαι δέδωκε θάλατταν, ὡς παρέσχε πονεῖν ἡ φύσις τὴν ἤπειρον, καὶ τὸ μὴ ῥᾷον ὁπωσοῦν διελθεῖν ἑτοιμότερον παρέσχε πορίζεσθαι. καὶ πρῶτον ἀνθρώπους σοφωτέρους εἶναι παρέσχεν ὁ πλοῦς, οἷς ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν. εἶτα ἀνδρείους ἀποτελεῖ, τολμῶντας ῥᾷον τὰ πρὸς τὴν θάλατταν, καὶ τοῖς πνεύμασιν ἀνταγωνίζεσθαι προδιδόντας, εἶτα δικαίους ἐπιβάντας

lade ortũ traxit; idq; cata Dea ſatum, omnino, vt manifeſtum eſt, vitæ rationi conducet. Quod enim ex bonis, & Dijs præcipuè prouenit, acceptantibus cõmodum venit. Nanque Dea conſpiciens res terrenas hominibus inutiles fore, ſi nauigatio defuiſſet; ea ratione operari mare conceſſit, qua terram laborare Natura præbuit; & quod prætergradi haud ita facile erat, id conſequi promptiùs elargita eſt. Et primùm quidem homines ſapientiores nauigatio fecit, rebus, quibus ex vna in aliã terrã appellunt. deinde robur, ac fortitudinem ingerit, cùm res marinas audacter pertractent, & cum ventis contentioſè decertent; poſtmodum iuſtos efficit, cùm nauem aſcenderint; pre-

νεώς. οἷς γὰρ δέονται πρὸς τὸ μήτι παθεῖν τῶν Θεῶν, καὶ παντὸς εἰσὶ δικαιότεροι. καὶ μὴν τὸ σωφρονεῖν ἡ τῆς γῆς ἀλλοτρίωσις δίδωσιν. οἷς γὰρ οὐχ ὁρῶσι, πλησιάζουσι, καὶ σωφροσύνην ἐπιτηδεύουσιν. εἰ δὴ οὖν προῆλθε Θεῶν, καὶ πᾶσαν ἀρετὴν παρέχειν ἀσκεῖν, εἰς ὅσον οἷόντε τιμητέον τὸν πλοῦν. Ναί φησιν, ἀλλ' ἐπὶ κακίᾳ τῶν ἀνθρώπων παρεσκεύασται πλοῦς. καὶ τί αὖ ἕτερον φυλάξει τὸ δίκαιον, εἰ τὸν πλοῦν ἀφαιρήσεται; ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν, καὶ τὰ παρὰ πᾶσιν ἐκμανθάνοντες νόμιμα, τηροῦσι τὰ δίκαια, καὶ τοσοῦτον αὐτοῖς τοῦ δικαίου προσέστιν, ὥστε προσθήκην αὐτοὺς εὑρεῖν τοῖς ὅθεν ἀπαίρουσιν. ἃ γὰρ ἐ-

ces enim, ne noxam ſubeant, Dijs effundunt, interque alios iuſtitiam amplectuntur ardentiùs. A terra quoque aberratio caſtimoniam parit; ad eos enim aduentant, quos non norunt, & pudicitiæ addicũtur. Si itaq; à Dijs ortum recognoſcit ſuum, & virtutem omnẽ exercere conceſſit nauigatio, quantùm fieri poteſt, in honore habenda eſt. Annuit: ſed in humani generis perniciem nauigatio comparatur. Et quodnam aliud iuſtitiam ſeruabit, ſi nauigatio tollatur de medio? Aliam ex alia terram aucupantur, & iura, quę apud omnes ſunt, edocti, iuſtitiam conſeruant, tantaque illis iuſtitia additur, vt & ipſi additamentum faciant ijs,

 à qui-

τέρωθεν ἔμαθον, τοῖς οἰ-
κείοις εἰσήγαγον, καὶ γί-
νεται νομοθέτης δικαίων
ἐξ ἑτέρων νομοθετούμενος.
καὶ μὴν δεδοικότες, μήτι
πάθωσι πλέοντες, δι-
καιότεροι γίνονται. καὶ κα-
θίστατ᾽ τῶν δικαίων φύλαξ
ὁ φόβος, εἰ δεδοικότες
μένουσι δίκαιοι, καὶ κα-
λοῦντες Θεοὺς εἰσὶν ὁσιώ-
τεροι, καὶ τὰ παρὰ πᾶ-
σιν ἐκμανθάνοντες δί-
καια, δικαιοσύνην ἐπι-
τηδεύουσιν. πῶς ἄν τις
αἰτιῷτο τὸν πλοῦν ἐπισ-
φέροντα τοῖς πλέουσιν ἄ-
δικα; Ναί φησιν, ἀλλὰ
τὸ πλεῖν ἐστὶ σφαλερώ-
τατον. ἐκεῖν μέγιστον, εἰ
παρ᾽ αὐτὸ κινδυνεύουσιν
ἄνθρωποι. μεγάλα δὲ με-
γάλοις κατορθοῦται. τοῖς

à quibus ſoluerint: quæ enim alibi didicerunt, in propria importarunt; fitque iuſtorum legumlator, qui ab alijs legibus inſtruitur. Item, ne aliquando è tranquillo ad ſcopulum allidantur, reformidantes, iuſtiores euadunt; eosq; timor cuſtodes iuris conſtituit. Si metuẽtes permanent iuſti; opemq; Deorum aduocantes pij fiunt, & iura, quæ apud omnes ſunt, addiſcentes, iuſtitiam exercent; quanam ratione nauigatio accusãda eſt, tamquam, quæ iniuſta nauigantibus præbeat? Ita eſt ait; ſed nauigatio infortunijs ſubiacens, maximè omnium eſt periculoſa. Maxima itaque ea eſt, ſi inter nauigandum in diſcrimen homines adducuntur: Ingentia verò ingentibus laboribus perficiuntur; quæ verò

vten-

πόνους. ἃ δὲ πονεῖν οὐκ ἐᾷ τοὺς χρωμένους, οὐκ ὤνησαν. ὁρᾷς τὰς μάχας εἰς οἷον πόνον τοῖς χρωμένοις ἐκβαίνουσιν. ἀλλ' εἰ καὶ τὸ πολεμεῖν ἐπικίνδυνον, τὸ κατορθοῦν ἐνδοξότερον, καὶ οὐ τὰς μάχας ἀποδιδράσκουσιν ἄνθρωποι τοὺς κινδύνους σκοποῦντες, ἀλλ' αὐτοὺς ἑκουσίως ὑφίστανται, τὸ νικᾶν λογιζόμενοι. καὶ ἀφαιροῦνται τὴν κινδύνων τὴν αἴσθησιν, αἱ τῆς νίκης λαμπρότητες. ὅθεν μετὰ τὸ πλεῖν καὶ τὸ κτῆμα Θεῶν πορισθὲν ὅλοις ὄνησις γίνεται πλέουσι. τετίμηνται μὲν γὰρ οἱ πορίσαντες, ἠσπάσαντο δὲ οἱ καθάπαξ ἀσκήσαντες, καὶ τὴν εἰς ἀνθρώπους κομιεῖ πᾶσιν ὄνησιν, Θεοῖς μὲν τὴν

vtentibus labori non ſunt, neque emolumento fuerint. Annō vides in quoſnam labores prælia bellatores inducant? Veruntamen licet pugnans in maximum ſalutis, ac vitæ diſcrimen incurrat, tamen probè pugnæ finem imponere glorioſiùs reputatur; & pugnas non vitant mortales reſpicientes pericula; ſed ea libentes ſubeũt, victoriam animo verſantes; ac diſcriminum ſenſum retundit victoriæ ſplẽdor. Hinc nauigatio, res à Dijs conceſſa, omnibus illi addictis vtilis eſt: etenim qui artem dederunt, honore affecti, & qui ſemel exercuerunt, eam ipſam exoſculati ſunt: qua & vtilitates maximæ ab omnibus capientur; idque Dijs cultum, hominibus vè-

τιμῶν, ἀνθρώποις δὲ στέρον οὐ μεῖζον.

rò facultates ingentes abundè gignet.

ΚΑΤΗΓΟΡΙΑ
Νόμου τοῦ κελεύοντος, τὰς τῶν ἀδελφῶν γαμετὰς γαμεῖν. ζ'.

Ἔφθασε μὲν ἡ φύσις τὸν νόμον, καὶ τοὺς ἅμα γεγονότας εἰς ὑμέναιον οὐκ ἐᾷ συνελθεῖν. βεβαιοῖ δὲ ὅμως τὴν φύσιν ὁ νόμος, καὶ δι' ἑκατέρων ἄμφω περιῆλθε. φύσις μὲν νόμῳ καταβάλλουσα γένεσιν, νόμος δὲ βεβαιῶν, ἃ τῇ φύσει δοκεῖ. δεῖ δ' ἐπὶ τοῦ νόμου βραχέα φιλοσοφῆσαι. τῶν ὄντων ὄντως ἅπαντα γένη, φύσει μὲν ὁμοίως ἀπὸ γάμου περιῆλθε, γάμῳ δὲ ὅμως οὐχ ὁμοίῳ συνάπτεται. ὁ μὲν γὰρ θηριώδης, καὶ ἀλόγιστος βίος

EXPOSTVLATIO
In Legem, iubentem, fratrum vxores in matrimonium ducere. 7.

PRæuenit Natura Legem; quæ vnà prognatos coniugio copulari prohibet; nihilominus Naturam Lex ſtabilit, & per vtraque ambo hæc proceſſere; Natura Legi generationem ſubijciens, & Lex ipſa comprobans, quæ Naturę complacent. Sed nonnulla, breuiter tamen, de Lege illa philoſophandum eſt. Rerum ſanè genus omne, naturaque, per coniugium naſcitur, coniugio tamen non vno copulatur. Efferata enim, & ſine ratione vitæ ratio,

ἀφῃρημένης φύσει τὸ κρίνειν, πάντα μὲν γάμοις συγχεῖν, πάντα δὲ ἀλλήλοις πλησιάζειν ἐᾷ, εἰς καὶ συνάπτεται μὲν παῖς, ἧς προσήλυθε, γίνεται δὲ πατήρ, ᾧ συνῆλθε μιγνύμενος, καὶ μαθεῖν οὐκ ἐᾷ παρὰ τῆς ὁμιλίας, ὃ γέγονεν ἕκαστον: ἄδηλον δὲ παρ' αὐτοῖς, καὶ παῖς, καὶ πατὴρ ὅσοις γάμος δοκεῖ, οὐ μὴν τοῦ λόγου μετειληφότες, τοῖς δὲ γάμοις παραπλήσιοι, ἀλλ' ὥρισται παῖς, καὶ διέστη πατήρ, καὶ κατακέκριται μήτηρ, καὶ τὸ παραχθὲν οὐκ οἶδε τῷ κεκομικότι συνάπτεσθαι, καὶ τὴν συγγένειαν, ἧς διέστη, τετίμηκεν. καὶ τὰ μὲν ἄλλα συγγένεια ποιεῖ συναπ-

tio, natura ipſa iudicio ſpoliata, omnia quidem coniugijs cōfundit, omnibuſque ſimul adiungi facultatem dat; qua & filius ab ea ſibi ducenda vxore, ex qua ortum cognoſcit ſuum, non abhorret; fitque pater, illi, cum qua ſatus eſt, ſeſe admiſcens, nec propter confuſos cōcubitus, quale vnumquodque ſit, dignoſci conceditur: ita apud illos, qui connubijs plaudunt, ratione tamen non dijudicant, neque pater certus eſt, neque filius: In alijs autem nuptijs licet ſimiles ſint, filius tamē præſcribitur, & ſeparatur pater, & diſcernitur mater, & in lucem productum cum productore copulari non nouit, & conſanguinitatem, à qua diſtat, veneratur. Tum reliqua quidem conſanguinitas coniungit,

con-

τέμνεται, τὰ δὲ συγγενῆ
συγγένειαν βεβαιοῖ διϊ-
στάμενα, ἃ καλῶς εἰ-
δὼς ὁ τὸν παρόντα νό-
μον εἰσενεγκὼν, ἀδελφοὺς
οὐκ ἐᾷ ταῖς τῶν ἀδελφῶν
συναρθῆναι συνοίκοις.
Ναί φησιν. ἀλλ' ἐπικου-
ρίας δεῖ χηρευούσαις ταῖς
γυναιξὶν. ἀδικεῖς ἄνθρω-
πε τὴν συμμαχίαν ἡ-
δοναῖς ὁριζόμενος. ὥς-
περ οὐκ ἐνὸν συμμαχεῖν,
εἰ μὴ γάμος παρείη, ἐξ
ὑμεναίων ἐπιφέρεις τὴν
χάριν ἀμείνω. ἔστω τὴν
συγγένειαν εὐνοίᾳ μᾶλ-
λον, ἢ τῷ γάμῳ τιμῶν,
τὸ μὲν γὰρ εὔνοιαν πρὸς
χάριν δοκεῖς πεπρα-
χέναι τοῦ γένους, τὸ δὲ
γάμῳ συμμαχεῖν συ-
ναπτόμενος, αὐτῆς εἶναι
παρασκευάζει τῆς ἡδονῆς.
τί δὲ χηρείαν ἐρεῖς γυ-
ναικὸς, ἔνθα τοῦ συνόν-

cōſanguineorum verò diſiunctio conſanguinitatē confirmat. Quæ cùm optimè calleret, qui legem hanc præſcripſit, germanis fratribus prohibet, ne cum fratrū vxoribus adiungantur. Ita eſt ais; ſed viduatis mulieribus auxilium ferre opus eſt. Iniuſtè agis, mi homo, qui ſuppetias voluptatibus definis; quaſi opē ferre non poſſis, ni parentur nuptiæ; ex hymenæis gratiam vtiliùs metiris: ſatiùs cōſanguinitatem beneuolētia, quàm coniunctionibus honora; beneuolentiam enim generis gratia impendiſſe videris; & dum concubitu nuptijs operam locas, voluptati te obnoxium incuſas. Quid porrò viduitatem mulieris vocas, vbi mariti frater

τος ἀδελφὸς καταλείπεται; μενέτω πατὴρ τοῖς παρ' ἐκείνου γεγονόσι παισὶ, καὶ μὴ συγχωρείτω τῆς χηρείας αἰσθάνεσθαι. τῶν παρ' αὐτοῦ συμμάχων ἄδηλον ποιείτω τῆς τύχης ἡ χάρις, καὶ τὴν συμφορὰν ἐπικουφιζέτω, τῇ χηρείᾳ ἐπικουρῶν, καὶ μὴ ποιείτω, γυναῖκα μὲν δοκεῖν ἀποβλέπειν εἰς ἡδονὰς, αὐτὸν δὲ γάμου συγγενείας ἀλλότριον. ἐπειδὴ συνάπτεται διὰ τὸ γένος. Ναί φησιν, ἀλλὰ γυναιξὶν ἡδοναὶ πρόχειροι. κρείττους δὲ τῶν οὐ προσηκόντων οἱ συγγενεῖς, ἀμείνους εἰς πάντα οἱ συγγενεῖς, καὶ τὸ κατ' αὐτῶν νομιζόμενον ἐκ τοῦ προσήκοντος γίνεται δέος. οὔπω τεθέαμαι τὸ μᾶλλον παρανομεῖν ἐπαινούμενον. τί δὲ τῶν γυναι-

ter reliquus eſt. ex illo prognatis puerulis pater is permaneat, nec permittat eos viduitatis incommoda perſentiſcere; & commodatis auxilijs fortunæ calamitates obſcuret, gratiaque exhibita infortunium ſubleuet, auxiliatus viduitati: nec procuret, vt mulier in voluptates prolabatur, ſe verò à conſanguinitatis nuptijs alienũ oſtendat, cùm genere mulieri iam coniungatur. Ita eſt, ais; ſed mulieres pronæ ſunt ad voluptates; & qui ſanguine coniunguntur, exteris meliores sũt. potiores ſunt ad omnia propinqui; & quidquid defertur ex affini genere, commodiùs exoritur. Nondum vidi magis iniquam improbitatem extolli laudibus: Quid mulie-

κῶν κατηγορεῖς ἡδονὰς, καὶ ταῦτα βεβαίοις συναπτόμενος; αἱ γυναῖκες νοσήσασαι πράττουσιν, οἱ προσήκοντες εἴργουσι, καὶ κωλυταὶ γίνονται τῆς ἐκείνων ἀκρασίας, οὐ σύμμαχοι. καὶ ἔμοιγε δοκεῖ οὐδὲν ἐπιμανθάνεσθαι τῶν ἐν τῇ χηρείᾳ κακῶν. τί γὰρ δεῖ τότε χηρείαν μὲν ἐλᾶν προσποιῇ, καὶ παίδων ὀρφανίαν οἰκτείρειν· εἶτα τὰς συμφορὰς ἐπὶ τοῦ πλησιάζειν αὐταῖς συναπτόμενος; ὁ χηρείαν εἰσάπαξ μὴ συγχωρῶν, δεύτερον ἐργάζεται, καὶ παῖδας ὀρφανοὺς ὀδυρόμενος, ἑτέρους ὀρφανοὺς πραγματεύεται. ὅσῳ γὰρ γάμον ἐργάζεται δεύτερον, δευτέρας συμφορὰς

lieribus exprobras voluptates, eaſque potiſſimùm, temetipsũ coniungens, confirmas? Mulieres morbo laborantes perperam agunt; vetant parentes, & illarum licentiam coërcent, ac prohibent, non laxant, & ope propagant: &, vt mihi videtur, nullum ex ijs incommodis, quæ in viduitate mulieres turbant, ipſæ persẽtiunt. Quid enim tunc viduitatem depellere ſimulas, parenteque orbatos filios cõmiſereri, cùm poſtmodum eas tibi coniungens, calamitates intendas. Qui omninò viduitatem prohibes, ſecundam machinaris, & de filijs orbatis indolens, alios orbatos procuras, quò nanque magis nuptiarum numerum auges, eò & calamitatum infortunia abundantiùs extendis, facisque nuptias, quæ infor-

ἀπεργάζεται. καὶ ποιεῖ γάμον οὐ δυστυχήματος κώλυμα, τὸ ὄντα δυστυχημάτων μᾶλλον ἐπίδοσιν. μέγα τοῖς ἀνθρώποις τὸ γένος, καὶ συγγένεια συνάπτειν οἶδε τὰ διϊστάμενα. πατέρες μὲν γὰρ ἐκ τοῦ γάμου καθίστανται, προσέρχονται δὲ δι' ὑμεναίων ἀδελφοὶ, πρὸς ἀλλήλους προσήκοντες, καὶ συζυγίᾳ μιᾷ ὁ πολὺς περιέρχεται τῶν σωμάτων κατάλογος. καὶ συμμαχεῖν μετ' ἀλλήλοις, ὅπου δέῃ, προῄρηνται, προανακόπτουσι δὲ τὰς τῶν ἐπιόντων ἐπιβουλὰς, καὶ συγγένεια γίνεται πλείστη ἡ τῆς ἐπικουρίας συντέλεια καλὴ, ὁριζόμενοι βεβαίως τὰ παρὰ νόμον τῆς φύσεως οὐ παραβαίνοντα νόμιμα.

fortunium nõ impediunt, ſed planè ac magis aliorum infortuniorum incommoda producunt. Magnum eſt inter homines genus; & cognatio diſtantia conglutinat: nuptiarum enim gratia patres fiunt, & per hymenæos fratres adueniunt, ſanguine inter ſe coniunctiſſimi, atque vno connubio abundans hominum catalogus exoritur, qui mutuam ſibi operã, ſi quãdo opus eſt, pręſtãt, & ingruentium inſidias propulſant; quò conſanguinitas, auxiliorum perfecta collatione fit auctior: dum firmiter iura præſcribuntur ab hominibus, à lege ipſa Naturæ minime diſcordantia.

Καρκῖνοι.

ΣΟφὸς ἔγωγε ἤδη ὢν ἄνω, χαρᾷ τ῀ ἄνω, γνῶ τὰ κάτω λέγων, ἄνω ταραχῶν ἂν ᾧ, ἤδη ἔγωγε σοφός.
Ὦ σὸν ἄναρχε νόμον ἔχρανα νόσῳ.
Σοὶ τῷ φωτὶ σοφὸς ἴτω Φώτιος.
Νῷ ἔλαττα μὴ ὄνητα σοφὸς ἄτη νοήματα Λέων.
Νόσῳ σὺ ὃς ἢ ἴαμα Ἰησοῦ σῶσον.
Νίψον ἀνομήματα μὴ μόναν ὄψιν.
Ἱερὰ σὰ παρὰ χείλη Ἥλιε χαρὰ πᾶσα ῥεῖ.
Νόμον ὁ κοινὸς ἔχει σὸν οἰκονόμον.
Ἴτε τάφῳ, σὺ δ' ἔδυς ὦ φατὲ τὶ
Ἀμῶς ἴασαι νόσον, ἴασαι σῶμα.
Σάρκας ἃς εἷλες ἄναξ ἔσω ὡς ἔξανας ἐλιέσας ἄκρας
Σὸς εἰμὶ τίμιε σός.
Ἀβὰ φάγε μέγα φάβα.
Ὦ γένος ἐμὸν, ἐν ᾧ μέσον ἐγώ.
Ἀναβάσατε τὰ σάβανα,
Νόσῳ σῶτερ ὑπὸ πυρετῷ σῶσον.
Ἐρεῖς ὁ ἐν Σάμῳ Θωμᾶς νέος ἱερέ.
Ἄναξ ἐτάκη ἄττα ἢ κατέξανα.
Νομικῶς ἀββᾶς ἐξέλεξε Σάββας ὤκιμον.
Εἰπὲ, σὸν αἷμα Δαμιανὸς ἔπιε.
Σοφά τε καὶ μὴ, γῆ μία καὶ τάφος.
Εἶπεν ἄφρων, ὀρφανὲ πῖε.
Εἰς ὅλα καλὸς εἶ, καλὸς εἶ.
Ὦ πόρνης πρέδοε δέρπεη τρόπῳ.
Νοτὶς ἔβαλε σοφὸς, ἔλαβε σῖτον.
Ἕλε ἐμὲ σοφὲ, νέφος ἐμὲ ἕλε.

ΕΙΣ

LEGATORIA
R. SALVAREZZA
Via Adda 127*